» διαμετρήσεις ἢ καθυπερτερήσεις (τουτέστι κατὰ τὸ δεξιὸν τετράγω-
» νον) τὸ ἀνάπαλιν Ἥλιον μὲν ὁ τοῦ Κρόνου, Σελήνην δὲ ὁ τοῦ Ἄρεως. »
Καὶ ἄλλοι δὲ τῶν ἀρχαίων εἰρήκασι τὰ σχήματα ταῦτα φυσικῶς σκεπτόμενοι· ἀγαθὸν γὰρ τυγχάνων πῦρ ὁ τοῦ Ἄρεως ταῖς ἐπαναφοραῖς ἐντείνει τὸν Ἥλιον θερμὸν ὄντα εἰς ἀναίρεσιν, ὁ δὲ τοῦ Κρόνου ψυχρὸς τὴν Σελήνην ὑγρὰν οὖσαν ψύχει. λέγει δὲ τὴν ἐπίτασιν μάλιστα γίνεσθαι τῆς κακώσεως ὅταν οἱ κακοποιοὶ τύχωσι κατειληφότες τοὺς τόπους τῶν οἰκοδεσποτούντων τοῖς φωσίν, οἷον εἰ τὰ μὲν φῶτα εἴη ἐν Ἰχθύσι, καθυπερτερεῖ δὲ Ἄρης ἢ Κρόνος ἐν Τοξότῃ, ὅς ἐστιν οἶκος τοῦ Διός, τοῦ οἰκοδεσποτοῦντος τοῦ τύπου τῶν φώτων, τουτέστι τῶν Ἰχθύων ἐπαναφέρεσθαι δύναται, εἰ τὰ μὲν φῶτα εἴη ἐν Αἰγόκερῳ, οἱ δὲ κακοποιοὶ εἶεν ἐν Ὑδροχόῳ· διαμετρεῖν δὲ οὐκέτι δύνανται τὰ φῶτα, ἀλλ' ἡ ἄρα ἐκ τῶν ὁρίων, διὰ τὸ ἐν ἑκάστῳ ζῳδίῳ εἶναι ὅρια τῶν ε' ἀστέρων· « ἐὰν δὲ καὶ δύο διαμετρήσεις τυγχάνωσι τῶν φώτων
» ἐπικέντρων κατ' ἰσομοιρίαν, δῆλον, φησίν, ὅτι νεκρὰ καὶ ἡμιθανῆ
» τίκτεται τὰ βρέφη· ἐὰν δὲ ἀπόρροιαν ἀπό τινος τῶν ἀγαθοποιῶν
» ἔχοντα τὰ φῶτα τυγχάνῃ· καὶ ἄλλως αὐτοῖς ἐσχηματισμένα ἐν τοῖς
» προηγουμένοις αὐτῶν μέρεσι, μὴ μέντοι γε τὰς ἀκτῖνας αὐτοῖς ἐπιφε-
» ρόντων, ἐπιζήσεται τὸ τεχθέν. ἀντὶ τῶν μεταξὺ τῆς τε ἀφέσεως καὶ
» τῶν ἐγγυτέρω κακοποιῶν ἀκτίνων, ἀριθμούντων ἡμῶν τοὺς ἴσους
» μῆνας ἢ ἡμέρας ἢ ὥρας παρὰ τὸ μέγεθος τῆς κακώσεως καὶ τὴν
» δύναμιν τῶν τὸ αἴτιον ποιούντων. » ἐπὰν γὰρ ὁ Ἥλιος καὶ ἡ Σελήνη
ἀπό τινος τῶν ἀγαθῶν ἀπόρροιαν ποιούμενοι τοῖς κακοποιοῖς συνάπτωσιν ἐν ταῖς ἐπαναφοραῖς αὐτῶν, ὑπάρχουσι κατὰ τὸ διάστημα τὸ πρὸς τοὺς κακοποιοὺς τῆς Σελήνης καὶ τοῦ Ἡλίου κατ' αὐτὴν τὴν

1 οἱ addo ex Heph. 2 προαν. 3 κακοδαιμονήσαντος. 7 ἐπισυμβάνειν] ὑπάρχειν. 11 ὀλιγοχρόνιον mel. 14 ἢ καθυπ. om. 15 Ptol., p. 225. 16 φυσικὰ σκεπτόμενα. 17 ἀγαθὸν] ἄκρατον. τῷ ἐπαναφορεῖν. 18 ἐπιτείνει. 19 ἐλέγετο (δὲ om.). 22 ἐν Τοξ.] ἢ τοῦ Τοξότου. 23 τόπου. 24 ἐπαναφ. δὲ. 25 εἶεν] ὦσιν. 26 ἢ] εἰ. μὴ om. Ptol. 32 ἀντὶ] ἄχρι Ptol. 33 ἐγγυτέρων. 34 παρὰ] πρὸς Ptol. 35 Ptol., ibid.

ἀναφορὰν μεριζομένων αὐτοῖς τῶν ἐτῶν ἢ τῶν μηνῶν ἢ τῶν ἡμερῶν παρὰ τὸ μέγεθος τῆς κακώσεως γινομένης τῆς διαφορᾶς.

Ἐκτίθησι δὲ τούτου καὶ ὑπόδειγμα ὁ πολυμαθέστατος Πορφύριος. « Ἔστω, φησίν, ὁ Ζεὺς ἐν Καρκίνῳ, Σελήνη δὲ ἀπορρεύσασα
» ἀπ' αὐτοῦ φερέσθω ἐπὶ μοίρας η' τοῦ Λέοντος· ὁ δὲ Ἄρης ἔστω ἐπανα-
» φερόμενος τῆς Σελήνης ἐν Παρθένῳ μοίρας η'· τοσοῦτον χρόνον
» ζήσεται τὸ γεννηθὲν ὅσαι αἱ μεταξὺ μοῖραι τοῦ Λέοντος ἐπὶ ὀκτὼ
» μοίρας Παρθένου· οὐ μέντοι τῶν μεταξὺ μοιρῶν εἰς ἐνιαυτοὺς
» λογιζομένων, ἀλλ' εἰς μῆνας ἢ ἡμέρας ἢ ὥρας· κἂν μὴ ὁ Ζεὺς δὲ
» ἢ ἐν Καρκίνῳ, συσχηματίζηται δὲ τῇ Σελήνῃ ἐν Λέοντι οὖσῃ κατὰ
» τρίγωνον ἀκτῖνα ἀπὸ Κριοῦ ταύτην ἐπιθεωρῶν· βαλλέτω δὲ τὴν ἀκτῖνα
» μὴ εἰς τὰ μετὰ τὰς η' μοίρας τοῦ Λέοντος, ἀλλ' εἰς τὰ πρὸ τῶν η'. ἐὰν
» γὰρ μεσεμβολῶνται παρὰ τοῦ Διὸς αἱ ἀκτῖνες, οὐδὲν πείσονται. »

« Οὕτως δὲ ἐχόντων [f. 124v] τῶν κακοποιῶν κατὰ τὴν πρὸς τὰ φῶτα ἐπαναφορὰν ἐπιζήσεται μὲν τὸ τεχθέν· οὕτως δὲ ὀλιγοχρονήσει ὡς τὰς ἐπαναφερομένας μοίρας μὴ ἐτῶν παρέχειν ἀριθμόν, ἀλλὰ μηνῶν ἢ ἡμερῶν.

Ἐξῆς δέ φησιν ὁ Πτολεμαῖος. « Ἐὰν δὲ αἱ τῶν κακοποιῶν
» ἀκτῖνες εἰς τὰ προηγούμενα φέρωνται τῶν φώτων, αἱ δὲ τῶν
» ἀγαθοποιῶν εἰς τὰ ἑπόμενα, τὸ γεννώμενον ἐκτεθὲν ἀναληφθήσεται
» καὶ ζήσεται. » Τοῖσδε ἐφεξῆς Ἀντίοχός τε καὶ Ἀπολλινάριος σχεδὸν τὰ αὐτὰ λέγουσιν· « ἔστω, φασίν, ὁ Ἥλιος καὶ ἡ Σελήνη ἐν
» Λέοντι μοιρ. ι'· βαλλέτωσαν δὲ ἀκτῖνας Κρόνος μὲν <ἀπὸ> Κριοῦ ἐπὶ
» Καρκίνον τετραγωνικῶς, Ἄρης δὲ ἐπὶ τὰς πρώτας μοίρας Λέοντος
» κατὰ διάμετρον ἐξ Ὑδροχόου, Ἡλίου καὶ Σελήνης ἀφεστηκότων τῆς
» ἀρχῆς τοῦ Λέοντος μοίρας ι'. βαλλέτω δὲ καὶ ὁ Ζεὺς ἀκτῖνα
» τριγωνικῶς ἀπὸ Τοξότου ἐπὶ τὴν κ' ἢ ιε' τοῦ Λέοντος. τὸ οὖν οὕτως
» γεννώμενον, ἐὰν μὴ ἐκ τῆς συνόδου τῶν φώτων ἄλλως βλάπτηται,
» ἐκτεθὲν ἀναληφθήσεται καὶ ζήσεται. ἀλλὰ τοῦ μὲν Διὸς καθυπερ-
» τεροῦντος τριγωνικῷ σχήματι τὸν Κρόνον εἰς τεκνοποιίαν, ἀνα-
» ληφθήσεται· εἰ δὲ καθυπερτεροῖντο οἱ ἀγαθοποιοὶ ὑπὸ τῶν
» κακοποιῶν, ἀναληφθήσεται μὲν καὶ ζήσεται, πλὴν δουλεύσει τῷ
» ἀναληψομένῳ. εἰ μέντοι οἱ ἀγαθοποιοὶ ἢ τούτων τις ἀνατολικὸς εἴη
» ἢ <τὴν> συναφὴν ποιοῖτο πρὸς Σελήνην, οἱ δὲ κακοποιοὶ πρὸς δύσιν
» εἶεν ἢ τούτων τις, ὑπ' αὐτῶν πάλιν τῶν γονέων ἀναληφθήσεται. »

1 λέγει δέ τοῦτο. πολυμαθὴς. 3 Similia edidit Kroll, *Catal.*, VI, 72 ex cod. Vindobonensi 1, f. 340v. 8 οὐ μέντοι] ἀλλ' οὐχί. 10 ἢ] ἢ. συσχηματίζηται. 14 κατὰ τὴν πρ. τ. φ. ἀναφορὰν] ἢ τῶν φ. ἐπαναφορῶν. 15 οὕτως. 16 ἀναφερομένας. παρέχειν. 17 Post ἡμερῶν] ἢ ὡρῶν add. 19 φέρονται cod. 20 ἐκτεχθὲν male. 21 Ptol., ibid. 23 ἐκ addo ex Heph. 27 ἐκ Τοξότου τρίγωνον. 30 τριγώνῳ. 32 ἀναληφθήσονται ... ζήσουσι ... δουλεύσουσι male. πλὴν] ἀλλὰ. 33 ἀναληψομένῳ corr. ex ἀναληφθησομένῳ cod. 34 τὴν addo ex Heph. οἱ δὲ κ.] εἰ δὲ κ. 34-35 Verba πρὸς δύσιν εἶεν in P desunt, dimidio versu lacerato. 35 ἀναληφθήσονται male.

« Κατὰ τὸν αὐτὸν δὲ τρόπον, φησί, καὶ ἐπὶ τῶν διδυμογόνων σχημά-
» των ἢ πλειστογόνων συμβαίνει ». θεωρεῖται δὲ τὸ σχῆμα τοῦτο ἀπό τε
τῶν φώτων καὶ τοῦ ὡροσκόπου τῶν τε λόγον ἐχόντων πρὸς αὐτοὺς
ἀστέρων ἢ τόπων · δισώμων γὰρ ὄντων τῶν τριῶν τόπων, καὶ μάλιστα
τῶν δεσποζόντων ἀστέρων τῶν τόπων ἐν δισώμοις ὁμοίως ὄντων, καὶ
τῶν περὶ τὰ φῶτα καὶ τὸν ὡροσκόπον συμπτωμάτων θεωρουμένων,
συμβαίνει δίδυμα γεννᾶσθαι. « ἐὰν δή, φησίν, ὑπὸ δύσιν τις ᾖ, (καὶ διὰ
» τοῦτο ἐλαττούμενος) τῶν κατὰ δύο ἢ πλείους συνεσχηματισμένων
» ἀστέρων, ἡμιθανὲς ἔσται τὸ συντεχθησόμενον τῷ γεννωμένῳ ἢ
» σάρκωμά τι ἀτελές, (ὅπερ ἐπικυημα καλοῦσιν). ἐὰν δὲ μὴ ὑπὸ δυσὶν ᾖ,
» καθυπερτερῆται δὲ ὑπὸ κακοποιῶν, ἄτροφον, φησίν, ἢ ἄχρονον ἔσται
» τὸ ὑπὸ τῆς κατ' αὐτὸν αἰτίας συγγεγεννημένον, » ὅθεν συμβαίνει τῶν
διδύμων τὸ μὲν ζῆν, τὸ δὲ παραυτίκα θνήσκειν ἢ μετ' ὀλίγον τινὰ
χρόνον.

« Λέγει δὲ καὶ ταῦτα Δωρόθεος ἐν τοῖς περὶ χρόνων ζωῆς ·
» ἀρίθμει, φησίν, ἐπὶ τῶν νυκτὸς γεννωμένων ἀπὸ Ἄρεως ἐπὶ Κρόνον
» καὶ τοσαῦτα ἀπὸ ὡροσκόπου ἔκβαλλε · καὶ ἐὰν καταλήξῃ εἴς τι ζῴδιον
» οὗ κυριεύει Κρόνος ἐπίκεντρος ὤν, ἄτροφον γεννᾶται · ἐπὶ δὲ τῶν
» ἡμερινῶν ἔμπαλιν ἀπὸ Κρόνου ἐπὶ Ἄρεα, καὶ τὰ ἴσα ὁμοίως ἀπὸ
» ὡροσκόπου, καὶ ἐὰν <τοῦ> τόπου εἰς ὃν καταλήξει Ἄρης ἐπίκεντρος
» ὢν κύριος εὑρίσκηται, ἄτροφον ὁμοίως ποιήσει. Κἂν Ἄρης δὲ καὶ
» Κρόνος ὑπόγειοι ὦσιν ἐν θηριώδεσι ζῳδίοις καὶ τὴν Σελήνην ὁρῶσιν,
» τὸ παραπλήσιον ποιοῦσι. »

« Κριτόδημος δὲ ταὐτά φησιν · « οἱ φωστῆρες ἐν ταῖς ἐσχάταις μοί-
» ραις τῶν ζῳδίων ὄντες ἀχρόνους ποιοῦσι. Σελήνη ἐν <τῷ> ἐκλειπτικῷ
» συνδέσμῳ οὖσα καὶ ὑπὸ Ἡλίου καὶ Ἄρεως ὁρωμένη ἄχρονα ποιεῖ.
» [f. 125r] Σελήνη ἐν τῷ βορείῳ πέρατι ὁμοίως ὑπὸ Κρόνου ὁραθεῖσα
» ἄχρονα ποιεῖ. Σελήνη δύνουσα πληρουμένη μὲν Ἄρεως ὡροσκοποῦν-
» τος, μειουμένη δὲ Κρόνου ἄχρονα ποιεῖ. ἐὰν δὲ οἱ κακοποιοὶ τὰ
» κέντρα ἔχωσιν ἐν ἀλλοτρίοις τόποις, οἱ δὲ φωστῆρες ἐν ἀργῷ τόπῳ,
» ἄχρονα καὶ κυνόβρωτα ποιεῖ. καὶ ἐὰν οἱ κακοποιοὶ ἔχωσιν ἀνατολάς, οἱ
» δὲ ἀγαθοποιοὶ κρύψεις, τὸ αὐτὸ ποιοῦσι, καὶ ἐὰν ἐν ταῖς ἐκλείψεσιν
» Ἡλίου καὶ Σελήνης ὁ κύριος τοῦ ὡροσκόπου κρύψιν ἔχῃ ἢ μὴ χρημα-
» τίζῃ, ὀλιγοχρόνια ποιεῖ, ἐὰν δὲ μηδεὶς χρηματίζῃ, ἄχρονα. καὶ ἐὰν τοῦ

2 πλειστογονούντων. Item Ptol. ἐθεωρεῖτο. 4 ἀστέρων τε καὶ τόπων. 7 γεννᾶσθαι. δή] οὖν. in Heph. 8 ᾖ] καὶ. Ptol., ibid. 13-24 Desunt verba διδύμων — Κριτόδημος δὲ, codicis P dimidio folio 81 lacerato. 15 et 24 De his et sequentibus cf. Kroll, *l. c.*, p. 72. 20 τοῦ addo e Vindob. 24 ταῦτα φησιν] Deinde textus in Heph. ita pergit : ἐν τῷ αὐτοῦ πίνακι. Πίναξ autem inscriptio Critodemei tractatus esse potuit. 25 τῷ addo ex Heph. 26 ἀχρόνους. 27 πέρατι] μειούρῳ. Post ὁραθεῖσα, haec verba, homoeoteleuti causa in cod. omissa, P restituit : μάλιστα κατὰ τετράγωνον ἢ διάμετρον ἢ ἐν τῷ νοτίῳ ὁραθεῖσα. 29 μειουμένου. ἀχρόνους. 29-p.65,3 Verba ἐὰν δὲ — τίκτονται non habet Vindob. 30 ἀργὸς τόπος] cf. Ptol., *Tetrab.*, III, 10. 31 ἄχρονα] ἄχρηστα. 33 σχηματίζῃ.

» ζῳδίου τὰ ἔσχατα μέρη ὡροσκοπῇ, τὰς δὲ πρώτας μοίρας κατέχωσιν
» οἱ κακοποιοί, ἄχρονα γεννᾶται, ὡς ἐπίπαν δὲ καὶ οἱ τικτόμενοι ἐν ταῖς
» ἐκλείψεσιν ἢ ἄχρονοι ἢ τυφλοὶ τίκτονται. καὶ ἐὰν ἡ Σελήνη ἀστέρι
» κακοποιῷ στηρίζοντι συνάψῃ, ὀλιγοχρονία τὰ τικτόμενα ποιεῖ. »

Ἰστέον δὲ ὅτι χρὴ σκεπτομένους τὸν περὶ χρόνων ζωῆς τόπον
χρήσασθαι ταῖς τῶν ζῳδίων ἀναφοραῖς κατὰ Πτολεμαῖον, οὗ καὶ τῇ
μεθόδῳ ὡς ἀληθεστέρᾳ χρησόμεθα καὶ φυσικωτέρᾳ. οὐχ ὑπονοητέον
μέντοι ὡς τῶν ἀναφορῶν ἄλλως καὶ ἄλλως εὑρισκομένων ὑπὸ τὸν
αὐτὸν παράλληλον .... πόσοι τοίνυν χρόνοι τοῦ ἰσημερινοῦ ἑκάστῳ
ζῳδίῳ, οἵπερ καὶ εἰς ἐνιαυτοὺς παραλαμβάνονται ἐκ τῶν κανόνων τῶν
ἀναφορῶν ἑκάστου κλίματος, ἐν τοῖς ἑξῆς γνωσόμεθα ἐκ τῆς μεθόδου
ἣν αὐτὸς ἐκτίθεται. εἰ δ' ἀπὸ χειρὸς ὁλοσχερῶς βουληθείημεν εὑρεῖν
τὰς συναναφορὰς ἑκάστου ζῳδίου ἢ καὶ συμμεσουρανήσεις, οὕτω
ποιοῦμεν. ἔστω γὰρ Κριὸν ἀνατέλλειν ἐν μοίρᾳ κα' Σκορπίου. κατὰ τὸν
Πτολεμαῖον γίνονται ἐνιαυτοὶ κα' καὶ μῆνες η'. ἀναλύω τὰ κα' ἔτη
εἰς μῆνας, καὶ γίνονται οἱ πάντες μῆνες σξ', οὓς μερίζω παρὰ τὰς τοῦ
ζῳδίου μοίρας λ', καὶ εὑρίσκω ἀνήκοντας ἑκάστῃ μοίρᾳ μῆνας η' καὶ
ἡμέρας κ' · ταῖς δὲ δυσὶ μοίραις δηλονότι μῆνες ιζ' καὶ ἡμέραι ι', ταῖς δὲ
γ' ὁμοίως τὸ τριπλοῦν, ἦγουν μῆνες κς', καὶ ἐφεξῆς ὁμοίως. ἢ καὶ
οὕτως · ἀναλύω τὰς κα' Σκορπίου μοίρας εἰς ἑξη<κοστά>, καὶ γίνονται
ἑξηκοστὰ ,ατ'. ταῦτα μερίζω παρὰ τὰς λ' μοίρας τοῦ ζῳδίου καὶ εὑρίσκω
ἀνήκοντα ἑκάστῃ μοίρᾳ ζῳδίου λεπτὰ πρῶτα μγ' καὶ βα κ'' · καὶ τὰ
μὲν μ' πρῶτα λεπτὰ ποιοῦσι μῆνας ὀκτώ, τὰ γ' πρῶτα καὶ κ'' βα ἡμέ-
ρας κ' · φανερὸν γὰρ ὡς ἑκάστῳ μηνὶ λεπτῶν πρώτων ε' ἀνηκόντων
ταῖς κ' ἡμέραις, γ' α' ἀνήκουσι, καὶ βα κ'' · αὕτη οὖν ἡ ἔφοδος ἔστω
καθ' ἕκαστον ζῴδιον καὶ κλίμα.

[F. 125r.] Hephaest., II, 11. Περὶ χρόνων ζωῆς.

Ἐκτίθησι μὲν τὴν τοῦ Πτολεμαίου λέξιν παραφράζων καί τινα διὰ
τὸ σαφέστερον · καί, φησίν, ὁ περὶ χρόνων ζωῆς λόγος ἀνύεται ἔκ τε
τῶν ἀφετῶν καὶ τῶν ἀφετικῶν τόπων. Εἰσὶ δὲ ἀφέται μὲν ὁ Ἥλιος καὶ
ἡ Σελήνη, καὶ ὁ κλῆρος τῆς τύχης καὶ ἡ σύνοδος ἢ ἡ πανσέληνος, καὶ
ὁ ὡροσκόπος · ἀφετικοὶ δὲ τόποι τὰ γ' κοντάρια, τὸ ὡροσκοποῦν, τὸ

9 Post παράλληλον] ἑτέρου καιροῦ ἂν εἴη πόσοι χρόνοι... Heph. 12 ἣν] πρὸς ἣν. 13 μεσουρανήσεις. 14 ποιῶμεν. τὸν Πτολ.] τοὺς παλαιούς. 15 ἀναλύω] πολλαπλασιάζω. τὰ κα' ἔτη καὶ μῆνας η' εἰς μῆνας κς'. Cf. Porphyr., *Isag.*, p.196 Wolf. 19-26 ἢ καὶ οὕτως ἀναλύω — καθ' ἕκαστον ζ. κ. κλίμα] Hic ἐλλειπτικῶς supputat Heph. Etenim XXI Scorpii partes CCLX mensibus respondent; quoque autem mense V partes continente, ad menses CCLX partes MCCC pertinent. 19 τὸ τριπλοῦν μέγεθος. Ea quae sequuntur paulo cum Heph. differunt. 27 Περὶ χρ. ζ. κατὰ τὸ ἀληθὲς καὶ Πτολεμαῖον. Cf. Ptol, *Tetrab.* III, 12; Procl. *Hypotyp.*, III, 11. 28 ἐκτίθησι] Scil. Hephaestio. Hoc fragmentum cum Hephaestionis verba ipsa refert, tum similia, quin et alia et plura praebere videtur.

μεσουρανοῦν καὶ τὸ δῦνον καὶ ἡ ἐπαναφορὰ καὶ ἡ προαναφορὰ τοῦ μεσουρανήματος, ἵνα πρὸς τὸν ὡροσκόπον οἱ λοιποὶ τοὺς δ' τῶν σχημάτων ἀποδίδωσι λόγους· ὁ μὲν ἐπαναφερόμενος τῷ μεσουρανήματι τὴν τοῦ ἑξαγώνου, ὁ δὲ τοῦ μεσουρανήματος τὸν τοῦ τετραγώνου, ὁ δὲ προαναφερόμενος [f. 125ᵛ] τὸν τοῦ τριγώνου, ὁ δὲ κατὰ δῦνον διάμετρον. Δεῖ οὖν, φησί, τὸν ἀφέτην καὶ ἐν ἀφετικῷ εἶναι τόπῳ, καὶ ὁρᾶσθαι ὑπὸ τοῦ οἰκοδεσπότου, ἤγουν τοῦ κυρίου τόπου κατὰ τὸν οἶκον, ἢ κατὰ τὰ ὅρια ἢ κατὰ τὸ ὕψωμα ἢ κατὰ τὸ τρίγωνον. εἰ γὰρ μὴ θεωρεῖτο, οὐκ ἔσται ἀφέτης.

Δεῖ δὲ πρῶτον τὸν τῆς αἱρέσεως τοῦ φωτὸς ζητεῖν, οἷον εἰ μὲν εἴη ἡ γένεσις ἡμερινή, τὸν Ἥλιον, εἰ δὲ νυκτερινή, τὴν Σελήνην· καὶ εἰ μὲν εὑρεθείη τὸ τῆς αἱρέσεως φῶς, ἤγουν ἡμέρας μὲν ὁ Ἥλιος, νυκτὸς δὲ ἡ Σελήνη ἐν ἀφετικῷ τόπῳ, καὶ θεωροῖτο ὑπό τινος οἰκοδεσπότου, αὐτῷ χρησόμεθα τῷ κατὰ τὴν αἵρεσιν, εἰ δὲ μὴ εἴη, τὸν ἄλλον φωστῆρα σκοπήσομεν τὸν παρὰ τὴν αἵρεσιν, οἷον τοῦ μὲν Ἡλίου μὴ ὄντος ἐν ἀφετικῷ τόπῳ κατὰ τὴν ἡμερινὴν γένεσιν τῇ Σελήνῃ· τῆς δὲ Σελήνης μὴ οὔσης κατὰ τὴν νυκτερινὴν γένεσιν, τῷ Ἡλίῳ· εἰ δὲ μηδέτερον τῶν φώτων εἴη ἀφέτης, ὡς μὴ ἔν τινι τῶν ἀφετικῶν εὑρεθὲν τόπων, παραληψόμεθα ἐκ τῶν ε' πλανωμένων τὸν πλείους ἔχοντα λόγους οἰκοδεσποτείας πρός τε τὸν Ἥλιον καὶ τὴν πρὸ τῆς γενέσεως γεγενημένην σύνοδον ἡμερινῆς, δηλονότι τῆς γενέσεως οὔσης, καὶ ἔτι πρὸς τὸν ὡροσκόπον. νυκτὸς δὲ εἰ μήτε ἡ Σελήνη μήτε ὁ Ἥλιος παραλήψεται τὸ ἀφιέναι ὁ πλείους ἔχων λόγους οἰκοδεσποτείας πρός τε τὴν Σελήνην καὶ τὴν προγενομένην πανσέληνον παραλήψεται τὴν κυρείαν τῆς ἀφέσεως. εἰ δὲ μηδὲ οὗτος συνοδικῆς οὔσης τῆς προγεγενημένης συζυγίας ὁ ὡροσκόπος, πανσεληνιακῆς δὲ ὁ κλῆρος τῆς τύχης· εἰ δὲ καὶ ἀμφότερα τὰ φῶτα ἢ καὶ ὁ τῆς οἰκείας αἱρέσεως οἰκοδεσπότης ἐν ἀφετικοῖς εἶεν τόποις ὁ ἐν τῷ κυριωτέρῳ τόπῳ τῶν ἀφετικῶν παραληφθήσεται· τάξιν γὰρ αὐτῶν παραδέδωκε τοιαύτην, ὥστε προκρίνεσθαι μὲν τὸ ὑπὲρ γῆν μεσουράνημα, εἶτα τὸν ὡροσκόπον, μεθ' ὃν τὸ ἐπαναφερόμενον τῷ μεσουρανήματι, εἶτα τὸ δῦνον καὶ ἐπὶ πᾶσι τὸ προηγούμενον τοῦ μεσουρανήματος.

« Ἥρτηται οὖν, ὡς ἔφημεν, τὸ πᾶν τοῦτο κεφάλαιον ἔκ τε τῶν ἀφετικῶν τόπων καὶ τῶν ἄφεσιν δυναμένων ποιεῖν τὸν χρόνον τῆς ζωῆς καὶ ἔμπαλιν τῶν ἀναιρεῖν δυναμένων. διακρίνεται δὲ ἕκαστον τούτων οὕτως. τόπους μὲν γὰρ ἀφετικοὺς ε' ὡρίσαντο, ὧν ἐν ἑνὶ χρὴ εἶναι τὸν τὴν κυρείαν τῆς ἀφέσεως λαμβάνοντα ἀστέρα, τό τε περὶ τὸν ὡροσκόπον δωδεκατημόριον ἀπὸ ε' μοιρῶν τῶν προαναφερομένων ἄχρι καὶ τῶν λοιπῶν κε' τῶν ἐπαναφερομένων τῇ ὡροσκοπούσῃ εἰσαγομένης δηλονότι καὶ αὐτῆς, καὶ ταύταις ταῖς λ' μοίραις δεξιᾶς » τουτέστιν εἰς

20 οἰκοδεσποτίας cod. ubique. 34 ἄφεσιν ἔχειν δυν. 36 ὡρίσατο. 37 τὴν κυρ. τ. ἀφ.] τὴν ἄφεσιν. ἀστέρα om. 38 ἀπὸ ε' (l. εης) μοίρας.

τὰ προηγούμενα, « ἑξαγώνους » μὲν τὰς τοῦ ια' τόπου, ὃν καὶ ἀγαθὸν δαίμονά φασι, τετραγώνους δὲ τὰς τοῦ ὑπὲρ γῆν μεσουρανήματος, τριγώνους δὲ τὰς τοῦ θ' τόπου, ὃς ἀπόκλιμα μέν ἐστι καὶ προαναφορὰ τοῦ μεσουρανήματος (καλεῖται δὲ θεός) καὶ διαμέτρους τὰς τοῦ δύνοντος· ὡς συμβαίνειν καὶ ἐπὶ τῆς δυνούσης μοίρας ε' μὲν εἶναι τὰς προκαταδυομένας μοίρας· κε' δὲ μετ' αὐτῆς τῆς πρὸς τὴν δύσιν τὰς ἔτι ὑπὲρ γῆν καὶ ἑπομένας αὐτῇ τῇ δυνούσῃ.

Σημειωτέον δὲ ὅτι οὐκ εἶπε δωδεκατημόρια, ἀλλὰ πλευρὰς ἑξαγώνους τε καὶ τετραγώνους καὶ τριγώνους διὰ τὸ μὴ πάντοτε εἰς τὸ ἀπὸ ὡροσκόπου τέταρτον ζῴδιον, ἤγουν τὸν ι' τόπον πίπτειν τὸ μεσουράνημα, μήτε εἰς τὸν ια' τὸν ἀγαθὸν δαίμονα, μήτε εἰς τὸν θ', ὃς καλεῖται θεός· διὰ γὰρ τοῦ εἰπεῖν ἑξαγώνους [f. 126ʳ] καὶ τετραγώνους καὶ τριγώνους πλευρὰς ὑπηνίξατο ὡς μὴ δεῖν πάντοτε τριάκοντα μοίραις διακρίνειν τοὺς τοιούτους τόπους τοὺς περὶ τὸ μεσουράνημα δηλαδή· ἀλλ' ἔστιν ὅτε καὶ πλείοσι τῶν λ', καὶ αὖ ἐλάττοσιν κατὰ τὸ ἀνάλογον τῆς διαστάσεως τῶν β' κέντρων τοῦ τε ὡροσκόπου καὶ τοῦ μεσουρανοῦντος, ἢ τοῦ μεσουρανοῦντος καὶ τοῦ δύνοντος· γίνεται δὲ ἡ τούτων διάκρισις οὕτως ὡς ὁ Παγχάριος ἐπεσημήνατο τὸν τόπον τοῦτον ὑπομνηματίζων καὶ φάσκων οὑτωσί· « οὐχ ἁπλῶς δεῖ λαμβάνειν τὰς « προαναφερομένας ε' μοίρας καὶ ἐπαναφερομένας κε'· πολλάκις γὰρ « οὐχ εὑρίσκεται λ' μοιρῶν τελείως τὸ δωδεκατημόριον, καθάπερ οἱ « πολλοὶ ποιοῦσι μὴ κατὰ λόγον. λαμβάνειν οὖν χρὴ τὴν διάστασιν « τῶν μοιρῶν ἀπὸ τῆς μεσουρανούσης ἄχρι τῆς ὡροσκοπούσης, καὶ « ζητεῖν πότερον ἐλλείπει τῶν ϙ' μοιρῶν ἢ πλεονάζει, καὶ λαβόντας τὴν « διαφορὰν σκοπεῖν πηλίκον μέρος ἐστὶν αὕτη τῶν ϙ'· καὶ τὸ τηλι- « κοῦτον μέρος ᾖ ἀφαιρεῖν τῆς τριακονταμοιρίας τῶν δωδεκατημορίων, « ὅταν ἡ διάστασις τῶν κέντρων ἐλάττων ᾖ τῆς ἐνενηκονταμοιρίας « τοῦ τεταρτημορίου ἢ προστιθέναι, ὅταν δηλονότι πλείων ᾖ. καὶ « φανερὸν ὡς ὅταν ἡ διάστασις τῶν μοιρῶν τῆς τε ὡροσκοπούσης καὶ « τῆς μεσουρανούσης ἐλάττων ᾖ τῶν ϙ' μοιρῶν, ἡ διάστασις τῆς « μεσουρανούσης καὶ δυνούσης πλείων ἔσται τῶν ϙ' ταῖς αὐταῖς « μοίραις αἷς ἐκείνη ἐλάττων ἐστί· συναμφότεραι γὰρ αἱ διαστάσεις « τὰς τοῦ ἡμικυκλίου περιέχουσι μοίρας ρπ'. »

Ἐκκείσθω δὲ ἡμῖν καὶ ὑπόδειγμα τούτου χάριν σαφηνείας ἕνεκεν. ἔστω τινὰ ἔχειν τῶν ὡροσκόπων Ὑδροχόου μοίρας κε', τὸ δὲ μεσουράνημα μοίρας ε'· ἀριθμήσας ἀπὸ τῆς πέμπτης μοίρας τοῦ Τοξότου ἕως τῆς κεης μοίρας τοῦ Ὑδροχόου, ἔχω μοίρας π'· ἔχω γὰρ κε' τοῦ Τοξότου, καὶ Αἰγόκερω λ' καὶ Ὑδροχόου κε'· οὐκοῦν ἐλλείπουσι μοῖραι ι', αἵπερ εἰσὶ μέρος τῶν ϙ' θον. λαβὼν οὖν ἀπὸ τῆς ε' μοίρας τοῦ Τοξότου ὡς πρὸς ἀνατολὰς μοίρας κε' καὶ τῶν γενομένων λ' τὸ θον,

19 De Panchario Ptolemaei commentatore cf. Kroll, *Philol.*, LVII, 1897, p. 123; *Catal.*, I, p. 118, n. 1. 35 τὸν ὡροσκόπον cod. Corrigo ex Heph. — P. 68, 1 γ' ἐξξ κ' cod.

ὅπερ ἐστὶ μοῖραι γ' ἐξ κ' ἀφελὼν τῶν λ' μοιρῶν τὰς λοιπὰς τοῦ Τοξότου μοίρας κς' μ', ἔσχον τέλος μὲν τοῦ μεσουρανοῦντος δωδεκατημορίου, ἀρχὴν δὲ τοῦ ιαου τόπου, τουτέστι τοῦ ἀγαθοῦ δαίμονος. πάλιν δὲ τῶν τοῦ δωδεκατημορίου λ' τὸ θον, ὅ ἐστι μοῖραι γ' κ'· ἀφελὼν αὐτῶν τῶν λ' τὰς λοιπὰς κς' μ', <καὶ> προσθεὶς ταῖς εὑρεθείσαις τοῦ Τοξότου μοίραις κς' μ', καὶ τῶν γενομένων μοιρῶν νγ' κ' ἀφελὼν τὰς τοῦ Τοξότου λ', τὰς λοιπὰς κγ' κ' αἵ εἰσι τοῦ Αἰγόκερω, ἔσχον τέλος μὲν τοῦ ἀγαθοῦ δαίμονος, ἀρχὴν δὲ τοῦ κακοδαιμονήματος· καὶ ἔτι ταῖς αὐταῖς κγ' κ' τοῦ Αἰγόκερω προσθεὶς τὰς ἀποδεδειγμένας τοῦ δωδεκατημορίου κς' μ', καὶ τῶν γενομένων ν' ἀφελὼν τὰς τοῦ Αἰγόκερω λ' μοίρας, τὰς λοιπὰς κ' τοῦ Ὑδροχόου ἔσχον τέλος μὲν τοῦ κακοδαιμονήματος, ἀρχὴν δὲ τοῦ ὡροσκοποῦντος δωδεκατημορίου· εἶτα μετελθὼν εἰς τὰ πρὸς δυσμὰς β' κέντρα, τό τε μεσουράνημα καὶ τὸ δῦνον, ἐπεὶ ἡ τούτων διάστασις μοιρῶν ἐστι ρ', πλεονάζουσαι τῶν ϙ' μοίραις ι', αἵτινες πάλιν μέρος θον ἐστιν αὐτῶν, καὶ λαβὼν ἀπὸ τῆς πέμπτης μοίρας τοῦ κατὰ τὸν Τοξότην μεσουρανήματος ὡς πρὸς δυσμὰς μοίρας ιε'· καὶ ταύταις τὸ θον αὐτῶν α' μ' προσθεὶς καὶ τῶν γενομένων ις' μ' ἀφελὼν τὰς ε' τοῦ Τοξότου καὶ [f. 126v] τὰ λοιπὰ ια' μ' ἀφελὼν τῶν τοῦ Σκορπίου λ' τὰς λοιπὰς ιε' κ' τοῦ Σκορπίου ἔσχον ἀρχὴν μὲν τοῦ μεσουρανοῦντος δωδεκατημορίου, τέλος δὲ τοῦ καλουμένου θεοῦ· ταῖς δὲ τοῦ δωδεκατημορίου λ' μοίραις προσθεὶς τὸ θον μέρος αὐτῶν ὅ ἐστι μοῖραι γ' κ' καὶ τὰς γενομένας λγ' κ' προσθεὶς ταῖς τοῦ Σκορπίου ια' κ', καὶ τῶν γενομένων ὁμοῦ μδ' μ' ἀφελὼν μὲν τὰς τοῦ Σκορπίου λ', ἀπὸ δὲ τῶν τοῦ Ζυγοῦ λ' τὰς ιδ' μ', τὰς λοιπὰς ιε' κ' τοῦ Ζυγοῦ ἔσχον ἀρχὴν μὲν τοῦ θ' τόπου, τουτέστι τοῦ καλουμένου θεοῦ, τέλος δὲ τοῦ ηου, ὃν καὶ τόπον ἀργὸν καλοῦσι. πάλιν δὲ τὰς ἀποδειχθείσας τοῦ δωδεκατημορίου λγ' κ' προσθεὶς ταῖς τοῦ Ζυγοῦ ιε', καὶ τῶν γενομένων μη' κ' ἀφελὼν μὲν τὰς τοῦ Ζυγοῦ λ', ἀπὸ δὲ τῶν τῆς Παρθένου λ' τὰς ιε' κ', τὰς λοιπὰς τῆς Παρθένου ια' μ' ἔσχον ἀρχὴν μὲν τοῦ ηου τόπου, τέλος δὲ τοῦ δύνοντος δωδεκατημορίου.

« Οὕτως οὖν χρὴ ἡμᾶς ποιεῖν τὴν τῶν δωδεκατημορίων διαίρεσιν ἵνα μὴ λάθῃ ποτὲ ὁ ἀφέτης ἐκπεσὼν εἰς ἀργὸν τόπον ἢ ἐν ἀργῷ ὢν δόξῃ ἐν ἀφετικῷ εἶναι, ἢ ὄντα ἐπὶ τοῦ μεσουρανίου ἢ ἄλλης θέσεως εἰς ἑτέραν ἡμεῖς αὐτὸν παραλάβωμεν μὴ ἀληθῶς οὕτως ἔχοντα.

« Ταῦτα μὲν σαφηνείας χάριν ἡμῖν μέχρι τούτων εἰρήσθω. οὐκ ὀκνητέον μέντοι καὶ ἔτι παρεκτεῖναι τὸ σκέμμα διὰ τὴν πολυμερῆ καὶ πολυθρύλλητον αὐτοῦ θεωρίαν. τοὺς μὲν οὖν ἀφετικοὺς ε' τόπους οὕτως

20 μεσουρανήματος cod. corrigo. 32 ἡμᾶς] οἶμαι. τὴν τῶν δωδ. διαίρεσιν] τοὺς ἀφετικοὺς ε' τόπους μετ' ἀκριβείας. 33-34 ἐκπεσὼν — εἶναι ὥς φησιν ἐν (l. εἰς) ἀργὸν τόπον καὶ μὴ ὡς ἐν ἀργῷ τιθέμεθα: 34 μεσουρανήματος. ἐκθέσεως. 34-35 εἰς ἑτέραν παραλάβωμεν] παραλάβοιμεν αὐτῶν. 36 μέχρι τούτων εἰρήσθω. 37 μέντοι καὶ ἔτι] γὰρ. πόσως τὸ σκέμματ οὑτου. 38 αὐτοῦ ε' τόπους.

ἔχομεν » διευκρινημένους ἕκαστον εἰς τὴν οἰκείαν ποσότητα τῶν μοιρῶν· προκρίνονται δὲ ἐν τούτοις εἰς δύναμιν ἐπικρατήσεως πρῶτον μὲν τὸ ὑπὲρ γῆν μεσουράνημα, τουτέστιν ὅλον τὸ περὶ τὴν μεσουρανοῦσαν μοῖραν δωδεκατημορίου καθὰ διακέκριται· εἶτα τὸ κατὰ τὴν ἀνατολήν, ἤγουν τὴν ὡροσκοποῦσαν μοῖραν, καὶ τοῦτό ὡς διακέκριται· εἶτα τὸ κατὰ τὴν ἐπαναφορὰν τοῦ μεσουρανήματος· εἶτα τὸ περὶ τὴν δύνουσαν μοῖραν, καὶ ἐπὶ πᾶσι τελευταῖον τὸ κατὰ τὸν θον τόπον τὸν καλούμενον θεόν. τὸ δὲ ὑπὲρ γῆν, φησί, πᾶν ἡμισφαίριον ἀθετητὸν πρὸς τὴν τηλικαύτην κυρείαν πλὴν μόνων τῶν παρ' αὐτὴν τὴν ἐπαναφορὰν εἰς φῶς ἐρχομένων, καὶ ἔτι τῶν πρὸ τῆς δυνούσης καταδεδυκυιῶν μοιρῶν, καὶ ἔτι τοῦ ὑπὲρ γῆν ἡμισφαιρίου οὔτε τὸ ἀσύνδετον τῷ ὡροσκόπῳ, ὅπερ ἐστὶ τὸ η', ὃ ἀργὸς τόπος καλεῖται, οὔτε τὸ δωδέκατον τὸ κακοδαιμόνημα λεγόμενον παραληπτέον διὰ τὸ τὰ ἄστρα, φησίν, ἐν αὐτοῖς ὄντα μετὰ τοῦ ἀποκεκλικέναι, ἔτι καὶ τὸ ἐκ τῶν τῆς γῆς ὑγρῶν ἀναθυμιάσεων παχὺ καὶ ἀχλυῶδες ἐμπόδιον ἔχειν πρὸς τὴν ἀπ' αὐτῶν ἐπὶ τὴν γῆν ἀπόρροιαν. διὸ καὶ παρὰ τὰ χρώματα καὶ τὰ μεγέθη, ἃ κατὰ φύσιν ἔχουσι, φαίνονται, ἀφέτας δ' ὡρίσατο, ἡμέρας μὲν τὸν Ἥλιον αον, εἴπερ δηλονότι ἔν τινι τῶν ἀφορισθέντων ἀφετικῶν ε' τόπων εὑρεθείη, εἰ δὲ μή, τὴν Σελήνην ὁμοίως· εἰ δὲ μηδὲ αὕτη εὑρίσκοιτο ἔν τινι τούτων τὸν δυνάμενον ἐκ τῶν ε' ἀστέρων λόγους ἔχειν οἰκοδεσποτείας πρός τε τὸν Ἥλιον, ἤγουν τὸ δωδεκατημόριον ὃ ἐπέχει ὁ Ἥλιος κατὰ τὴν προγενομένην τῆς γενέσεως σύνοδον καὶ τὸν ὡροσκόπον, οὐχ ἵν' ἐξ ἀνάγκης καὶ πρὸς τοὺς τρεῖς λόγους ἔχῃ οἰκοδεσποτείας· τοῦτο γὰρ ἀδύνατον εἰ μὴ εἴη ἡ σύνοδος κατ' αὐτὴν τὴν ὥραν [f. 127r] τῆς γενέσεως, ἣ καὶ πρὸς αὐτῆς ἔγγιστα. ἀλλὰ κἂν μὴ πρὸς τὰ τρία, ἀλλ' οὖν πρὸς τὰ β', ἢ τέως πρὸς τὸν α'· εἰ δὲ μὴ ἐκ τῶν ε' ἄστρων εὑρίσκοιτό τις τὴν κυρείαν τῆς ἀφέσεως εἰληφὼς τὸν ὡροσκόπον. ἐπισαφηνίζων δ' ἐφεξῆς ὁ Πτολεμαῖος τίνας εἶπεν οἰκοδεσποτικοὺς λόγους ἐπάγει λέγων· « ὅταν τῶν οἰκοδεσποτικῶν λόγων ε' ὄντων, » τοῦ τε κατὰ τοὺς οἴκους <καὶ> τοῦ κατὰ τὰ ὑψώματα, τοῦ κατὰ τὰ ὅρια, τοῦ κατὰ τὰ τρίγωνα, καὶ ἔτι τοῦ κατὰ τὰς φάσεις εὑρεθῇ τις τῶν ε' ἀστέρων πλείονας ἔχων λόγους πρὸς ἕνα τῶν εἰρημένων γ' Ἥλιον, Σελήνην ἢ ὡροσκόπον· καὶ οὕτω μὲν ἐπὶ τῶν ἡμερινῶν γενέσεων· ἐπὶ δὲ τῶν νυκτερινῶν, πρῶτον μὲν ἀφέτην ὡρίσαντο τὴν Σελήνην, εἴπερ ἔν τινι τῶν ἀφετικῶν τόπων εὑρίσκοιτο, εἰ δὲ μή, τὸν Ἥλιον· δῆλον δὲ ὡς οὐκ ἂν εὑρεθείη ὁ Ἥλιος ἀφέτης ἐν νυκτί, εἰ μὴ μόνον πλησίον τοῦ ὁρίζοντος ὑπὸ γῆν ἔν τε ταῖς κε' μοίραις ταῖς ἐπαναφερομέναις τῇ ὡροσκοπούσῃ καὶ ἐν ταῖς ε' ταῖς προδεδυκυίαις τῆς δυνούσης. ἐὰν δὲ μηδὲ οὕτος τύχῃ ἔν τινι τῶν ἀφετικῶν τόπων τὸν πλείονας οἰκοδεσποτείας λόγους ἔχοντα πρός τε τὴν Σελήνην καὶ τὴν προγενομένην πανσέληνον καὶ πρὸς τὸν κλῆρον τῆς τύχης, ὅστις

1 ἔχομεν ἀφορισμοὺς. Quae sequuntur fere sim. Heph. 22 κατὰ] καὶ cod. 28 Ptol., *Tetrab.*, p. 330.

καὶ σαφὴς ὢν οὐ δεῖται τῆς ἡμῶν ἑρμηνείας. ἐνταῦθα δὲ ὁ Παγχάριος ἐπιστατῶν ὡς ἐν εἴδει ἀπορίας περὶ τοῦ λόγον ἔχοντος οἰκοδεσποτείας πρὸς τὴν προγεγονυῖαν πανσέληνον, τίνος χάριν εἴρηκε πανσέληνον καὶ οὐχ ἁπλῶς <πρὸς τὴν ἔγγιστα> συζυγίαν, ἴσως γὰρ ἀπίθανον δόξειεν ἂν τὸ ζητεῖν πανσεληνιακὴν συζυγίαν πρὸ τῆς γενέσεως γεγενημένην, εἴπερ συνοδικὴ γένοιτο ἐγγυτέρω· ἐπὶ μὲν γὰρ τῆς ἡμερινῆς γενέσεως κἂν ἡ ἔγγιστα προγεγενημένη συζυγία πανσεληνιακὴ εἴη, οὐκ ἀλόγως δοκεῖ ἐπὶ τὴν συνοδικὴν ἀνατρέχειν ὡς προκαταρκτικὴν μᾶλλον οὖσαν ἢ τὴν πανσεληνιακήν, ἐπὶ δὲ τῶν νυκτερινῶν τίνα λόγον ἔχει ἀφέντας τὴν ἐγγύτερον συνοδικὴν ἐπὶ τὴν πανσεληνιακὴν ἀνατρέχειν; ἀλλ' ἴσως, φησι, διὰ τὸ τῆς νυκτὸς ἀφώτιστον. ἅμα δὲ καὶ τὸ τῆς Σελήνης κατὰ τὴν σύνοδον εὔλογον εἰς τὴν πανσέληνον ἀνατρέχειν φωτὸς οὖσαν πλήρη καὶ τὸ τῆς νυκτὸς ἀφώτιστον ἀναπληροῦσαν. ἴσως δ' ὅτι καὶ οὗτος εὔλογον ἡγεῖται τὸ τὴν προγενομένην ἁπλῶς συζυγίαν ζητεῖν· καὶ οὐκ ἐξ ἀνάγκης τὴν πανσεληνιακὴν ἐκ τῶν ἐφεξῆς εἰρημένων αὐτῷ δίδωσιν ὑπονοεῖν· φησὶ γὰρ ὡς ἐὰν μηδὲ ὁ οἰκοδεσπότης εὑρίσκηται ἔν τινι τῶν ἀφετικῶν τόπων, χρῆσθαι δεῖ ἀφέτῃ, εἰ μὲν ἡ προγενομένη συζυγία πανσεληνιακὴ εἴη τῷ κλήρῳ τῆς τύχης, εἰ ἔν τινι τῶν ἀφετικῶν τόπων εἴη· εἰ δὲ συνοδική, τῷ ὡροσκόπῳ.

Σημειωτέον δ' ὅτι ὁ ὡροσκόπος οὐ μόνον ἀφετικός ἐστι τόπος, ἀλλὰ καὶ ἀφέτης ἔστιν ὅτε γίνεται. ἐπὶ τούτοις, ἐὰν δέ, φησὶν ὁ Πτολεμαῖος, συμβαίη εἶναι τὸν Ἥλιον καὶ τὴν Σελήνην κατ' ἀφετικῶν τόπων, εἶναι δὲ καὶ τὸν τῆς οἰκείας αἱρέσεως οἰκοδεσπότην, τουτέστιν ἡμέρας μὲν τὸν τοῦ Ἡλίου ἢ τὸν τῆς συνόδου ἢ τὸν τοῦ ὡροσκόπου, νυκτὸς δὲ τὸν τῆς Σελήνης ἢ τῆς πανσελήνου ἢ τοῦ κλήρου τῆς τύχης, τότε σκοποῦμεν τίς αὐτῶν τὸν δυνατώτερον ἐπέχει τόπον, καὶ πλείονας [f. 127v] οἰκοδεσποτείας λόγους ὧν ἐξηγήσατο, κακείνῳ δίδωμεν τὴν κυρείαν τῆς ἀφέσεως. τότε δὲ μόνον τὸν οἰκοδεσπότην δεῖ προκρίνειν καὶ ἀμφοτέρων τῶν λοιπῶν, ὅταν πρὸς τῷ κυριωτέρῳ ἐπεῖναι τόπῳ καὶ πρὸς ἑκατέρας τὰς αἱρέσεις οἰκοδεσποτείας λόγον ἔχῃ. μετὰ δὲ τὸ διορίσασθαι καὶ τοὺς ἀφέτας ἐπὶ τοὺς τρόπους τῆς ἀφέσεως ἔρχεται καὶ τούτους β' παραδίδωσιν, οἳ καὶ ἔστιν ὅτε εἰς τὰ ἑπόμενα μόνον τῶν ζῳδίων, ὃν φησιν ὑπὸ τὴν ἀκτινοβολίαν, περὶ ἧς ἀκτινοβολίας ἐν ταῖς ἀρχαῖς εἴρηται, ὅταν ἐν τοῖς ἀπηλιωτικοῖς, τουτέστιν ἀπὸ τοῦ μεσουρανήματος ἐπὶ τὸν ὡροσκόπον τόποις ᾖ, καὶ ὁ οὐ μόνον εἰς τὰ ἑπόμενα, ἀλλὰ καὶ εἰς τὰ προηγούμενα κατὰ τὴν λεγομένην ὡριμαίαν, ὅταν ἐν τοῖς ἀποκεκλικόσι τοῦ μεσουρανήματος τόποις ᾖ ὁ ἀφέτης. ὡριμαία δὲ ἐκλήθη ἡ τοιαύτη ἄφεσις ὅτι μόνη ἡ τοῦ δυτικοῦ κέντρου μοῖρα ἀναιρεῖ αὐτήν. προστιθέασι δὲ οἱ ἀγαθοποιοὶ καὶ

4 πρὸς τὴν ἔγγιστα add. cod. mg. et Heph. in textu. 8 F. l. ἄλογον. 33 εἰσὶν ὅτε cod. Corrigo. 34 Ptol., p. 332. 36 καὶ ὁ] καὶ τὸν. Ptol., p. 334.

ἀφαιροῦσιν οἱ κακοποιοὶ κατὰ τὴν ποσότητα τῶν ὡριαίων χρόνων ἑκάστης μοίρας αὐτῶν, καὶ κατὰ τὴν ἀπὸ τοῦ ὡροσκόπου ἀπόστασιν.

«Τούτων δέ, φησίν, οὕτως ἐχόντων, κατὰ μὲν τὴν εἰς τὰ προηγούμενα τῶν ζῳδίων ἄφεσιν, ἀναιρετικὴ γίνεται μοῖρα ἡ τοῦ δυτικοῦ ὁρίζοντος μόνη διὰ τὸ ἀφανίζειν τὸν κύριον τῆς ζωῆς δύνοντα δηλαδή· αἱ δὲ τῶν οὕτως ὑπαντώντων ἢ μαρτυρούντων ἀστέρων ἀφαιροῦσι μόνον καὶ προστιθέασιν ἔτη τοῖς μέχρι τῆς κατὰ δύναμιν τοῦ ἀφέτου συναγομένοις, οὐκ ἀναιροῦσι δὲ διὰ τὸ μή αὐτούς, ἤγουν τοὺς ἀστέρας ἐπιφέρεσθαι, ἤγουν ἐπέρχεσθαι ἐπὶ τοὺς τόπους τῶν ἀφετῶν, ἀλλὰ τοὺς τόπους τῶν ἀφετῶν ἐπὶ τοὺς τόπους τῶν ἄστρων. τοῦτο δέ φησιν οὐ πρὸς τὴν ἐπὶ τοῦ ζῳδιακοῦ κίνησιν τῶν ἀστέρων ἀποσκοπῶν· κατὰ ταύτην γὰρ ἀπὸ τῶν προηγουμένων ἐπὶ τὰ ἑπόμενα οἱ ἀστέρες κινοῦνται, ἀλλὰ πρὸς τὴν ἐπὶ τοῦ διαθήματος καθ' ἣν ὡς ἀπὸ τῶν ἑπομένων ἐπὶ τὰ προηγούμενα τοὺς τόπους μεταμείβουσι. διὰ τοῦτο οὖν, φησίν, ἐπὶ τῆς τοιαύτης θέσεως οὐκ ἀναιροῦσιν οἱ κακοποιοί, ἀλλὰ μόνον ἀφαιροῦσιν, ὅτι οὐκ ἔρχονται οἱ κακοποιοὶ ἐπὶ τοὺς τόπους τῶν ἀφετῶν, τουτέστιν ὡς ἀπὸ τῶν προηγουμένων ἐπὶ τὰ ἑπόμενα, ἀλλὰ τὸ ἀνάπαλιν οἱ ἀφέται ἐπὶ τοὺς τόπους τῶν κακοποιῶν ὡς ἀπὸ τῶν ἑπομένων δηλονότι ἐπὶ τὰ προηγούμενα. προστιθέασιν οὖν οἱ ἀγαθοποιοὶ ἐπὶ ταύτης τῆς θέσεως καὶ ἀφαιροῦσιν οἱ κακοποιοὶ [οἱ] τοῦ Ἑρμοῦ πάλιν ὁποτέροις ἂν αὐτῶν συσχηματισθῇ προστιθεμένου· ὁ δὲ ἀριθμὸς τῆς προσθέσεως ἢ ἀφαιρέσεως θεωρεῖται διὰ τῆς καθ' ἕκαστον μοιροθεσίας· ὅσοι γὰρ ἂν ὦσι τῆς ἑκάστου μοίρας ὡριαῖοι χρόνοι ἐν τῷ οἰκείῳ κλίματι ἡμέρας μὲν οὔσης οἱ τῆς ἡμέρας, νυκτὸς δὲ οἱ τῆς νυκτός, τουτέστιν οἱ τῇ διαμετρούσῃ παρακείμενοι μοίρᾳ, τοσοῦτον πλῆθος ἐτῶν ἔσται τὸ τέλειον, ὅπερ ἐπὶ τῆς ἀνατελλούσης μοίρας ὄντων τῶν κακοποιῶν ἢ τῶν ἀγαθοποιῶν ὅλον λογιστέον· κατὰ τὸ ἀνάλογον δὲ τῆς ἀποχωρήσεως ὑφαιρετέον ἕως ἂν πρὸς τὸν δύνοντα εἰς τὸ μηδὲν καταντήσῃ.» ἵνα δὲ μᾶλλον καὶ [f. 128r] ἔτι σαφέστερον ποιήσωμεν τὸ τοιοῦτον ὅλον χωρίον, τουτέστι τὸ λεγόμενον ὑπ' αὐτοῦ, ὅτι ἐὰν εὑρεθῇ ὁ ἀφέτης ἐν ταῖς ἀποκεκλικυίαις τοῦ μεσουρανήματος μοίραις, ποιήσεται τὴν τῶν χρόνων ἄφεσιν ὡς ἐπὶ τὰ προηγούμενα κατὰ τὴν δύνουσαν μοῖραν, ἣν καὶ ἀναιρετικὴν καλεῖ, διὰ τὸ κατ' αὐτὴν γενόμενον τὸν ἀφέτην, ἤγουν τὸν κύριον τῆς ζωῆς καταδύεσθαι, καὶ οἷον ἀφανίζεσθαι. συνάγονται δὲ οἱ χρόνοι οἱ ἀπὸ τοῦ ἀφέτου ἄχρι τῆς δυνούσης μοίρας οὕτως· λαβόντες γὰρ τοὺς περικειμένους ἀναφορικοὺς χρόνους τῇ τοῦ ἀφέτου μοίρᾳ ἐπὶ τοῦ ὑποκειμένου κλίματος, καὶ ἔτι τοὺς περικειμένους τῇ δυνούσῃ· καὶ

3 Post ἐχόντων] ἀναιρετικαὶ γίνονται κατ. 4 Post ἄφεσιν] ἡ τοῦ δυτ. ὁρ. μόνη. 5 αἱ δὲ] οἱ δὲ. 7 ἔτη] ἔτι. Ptol., p. 334. 15 Cf. Ptol., p. 335. 21 οἱ non habet Heph. 24 ὡραῖοι. 25-26 οἱ — μοίρᾳ] οἱ διάμετροι. 26-28 ὅπερ ἐπὶ ἀνατολῆς αὐτῶν ὄντων λογιστέον. 28 ὑποχωρήσεως. 29 πρὸς τὰς δύσεις.

ἀφελόντες ἀπὸ τῶν πλειόνων τὰς ἐλάσσονας τὰς λοιπὰς τοσοῦτον πλῆθος ἐτῶν ἔξομεν ἀπὸ τῆς ἀφετικῆς μοίρας ἄχρι τῆς ἀναιρετικῆς· οἷον ἔστω ἐπὶ ἡμερινῆς γενέσεως εἶναι μὲν τὸν ἀφέτην ἐν Τοξότου μοίρᾳ η'· τὴν δὲ δύνουσαν ἐν Ζυγοῦ μοίρᾳ ι'· παράκεινται τῇ μὲν η' τοῦ Τοξότου ἐπὶ τοῦ δι' Ἑλλησπόντου κλίματος χρόνοι ἀναφορικοὶ σξ̄ με'· τῇ δὲ ι' τοῦ Ζυγοῦ ρϙα' μ'. ἀφαιρουμένων δὲ τῶν ρϙα' μ' ἀπὸ τῶν σξ̄ με', λείπονται οε' ἔγγιστα, ἃ καὶ εἰς ἔτη καταλογίζονται. μετὰ δὲ ταῦτα ζητοῦμεν καὶ τὸν ὑπαντήτορα, εἴτε ἀγαθοποιόν, εἴτε κακοποιόν, καὶ εὑρόντες τὴν μοῖραν αὐτοῦ εἰσάγομεν ταύτην εἰς τὸ αὐτὸ κανόνιον τοῦ ὑποκειμένου κλίματος καὶ τοὺς περικειμένους αὐτῇ ὡριαίους χρόνους ἔτη ἀποφαινόμεθα· καὶ ταῦτα ἔχοντες ὁλόκληρα, εἴπερ ὁ ὑπαντήτωρ ἐν τῇ ὡροσκοπούσῃ μοίρᾳ εὑρίσκεται, ἢ προστίθεμεν τοῖς τοῦ ἀφέτου ἔτεσιν, εἰ ἔστιν ἀγαθοποιὸς ὁ ὑπαντήτωρ, ἢ ἀφαιροῦμεν ἐξ αὐτῶν, εἰ ἔστι κακοποιός, καὶ τὰ οὕτω μετὰ τὴν προσθήκην ἢ ἀφαίρεσιν συναγόμενα ἔτη ἀποφαινόμεθα. οἷον ἔστω ἐπὶ τοῦ προεκτεθέντος ὑποδείγματος, ἐν ᾧ εὕρηται τὰ ἀπὸ τοῦ ἀφέτου ἔτη οε', ὁ τοῦ Κρόνου κατὰ τὴν ὡροσκοποῦσαν μοῖραν τοῦ Κριοῦ ιηι, καὶ ἐπεὶ κατὰ τὸ αὐτὸ τῶν ἀναφορῶν κανόνιον ἐπὶ τοῦ αὐτοῦ κλίματος τῇ ι' τοῦ Κριοῦ παράκεινται χρόνοι ὡριαῖοι ιε' s'' ἔγγιστα, τούτους ὡς ἔτη ἀφαιρῶν ἀπὸ τῶν τοῦ ἀφέτου οε'· τὰ λοιπὰ νθ' s'' φήσομεν εἶναι τὸν ὅλον χρόνον τῆς ζωῆς τοῦ γεννωμένου· εἰ δὲ ἦν ὁ ἐπὶ τῆς ὡροσκοπούσης μοίρας ὑπαντήτωρ ἀγαθοποιός, ὡς φέρε εἰπεῖν ὁ Ζεὺς ἢ ἡ Ἀφροδίτη, προσετίθεμεν ἂν τὰ ιε' s'' τοῖς οε' καὶ τὰ γενόμενα ϙ s'' ἐλεγόμεν εἶναι τὸν χρόνον τῆς ζωῆς τοῦ γεννωμένου. καὶ ταῦτα μὲν εἰ ὁ ὑπαντήτωρ ἐπὶ τῆς ὡροσκοπούσης τύχοι μοίρας· εἰ δὲ μή, κατὰ ἀναλογίαν τῆς ἀποχωρήσεως ἔσται καὶ ἡ λῆψις τῶν ὡριαίων χρόνων· ὅσων γὰρ ἂν καιρικῶν ὡρῶν ἡ ἀπὸ τῆς ὡροσκοπούσης μοίρας ἀπόστασις τοῦ ὑπαντήτορος ᾖ, τοσαῦτα ιβα τῶν ἐκ τοῦ κανόνος ὡριαίων χρόνων ἀφελόντες, αὐτῶν τὰ λοιπὰ ἢ προσθήσομεν τοῖς τοῦ ἀφέτου ἢ ἀφελοῦμεν αὐτῶν. οἷον ἔστω ὁ Κρόνος μὴ ἐπὶ τῆς ὡροσκοπούσης μοίρας, ἀλλ' ἀφεστάτω ταύτης ὡς πρὸς δυσμὰς ὥραις καιρικαῖς γ'· ἢ ἐπεὶ αἱ γ' καιρικαὶ ὧραι γ' ιβα εἰσι τῆς ἡμέρας, εἰσὶ δὲ καὶ

7 καταλογίζονται] Ad hunc locum pertinet scholion partim a compactore erasum : Ἡμαρτημένως ἐν τ<οὑτοις> γέγονεν ὁ ἐπιλ<ογισ>μός· ᾧ τινι καὶ ὁ <Πορ>φύριος κέχρητ<αι> ἀνεπιστήμως <τε> καὶ πόρρω τῆς τοῦ Πτολεμαίου διανοίας· οὐ <γάρ> ἐν τῇ η' μοίρᾳ τοῦ Τοξότου <ἐ>φέτ<ης> δι' οε' ἐτῶν <ἔρ>χεται ἐπὶ τὸ δῦνον, ἀλλὰ μ'· ὁ γὰρ κ<ανὼν?> τοῦ ε' κλίματος <κατα>φορὰς οὐκ ἔχει <ἀλλ' ἀ>ναφορὰς· δεῖ <οὖν?> τοῦ δύνοντος κ<ατα>φοραῖς χρῆσθαι <ἀλ>λ' οὐκ ἀναφοραῖς· αἱ δὲ καταφοραὶ ἀ<πὸ> τῶν διαμέτρων λαμβάνονται ζω<δίου?>· ἐπεὶ οὖν ἐν τῇδε θέσει ὡροσκοπῶν Κριοῦ μ<οῖραν?> καὶ ταύτῃ παρά<κειται> χρόνος ἀναφορικός, ὁ δὲ ἀφέτης ἐν Τοξότῃ ὀφείλει λαβεῖν Διδύμων μοῖρ<αν> ἢ παράκεινται χρόνοι, ἡ ὑπεροχὴ χρόνων <μ' ἔσται?> ἀλλ' οὐχὶ οε'. 9 ὑπαντήτωρ deest in lexicis. 14 κακοποιοὶ cod. 23 ϙ s'ν cod. Corrigo.

τῶν ιε' λ' ὡριαίων χρόνων τὰ ιβα, γ' νβ' ἔγγιστα, ταῦτα ἀφαιροῦμεν τῶν ιε' λ', καὶ τὰ λοιπὰ ια' λη' ἀφαιροῦμεν πάλιν ἀπὸ τῶν τοῦ ἀφέτου οε', καὶ τὰ λοιπὰ ξγ' γον ἔγγιστα λέγομεν εἶναι ἔτη [f. 128v] τῆς ὅλης ζωῆς τοῦ ἀνθρώπου· ὥστε εἰ ἔτυχεν ὁ Κρόνος ἐπὶ τῆς δυνούσης ο', ἂν ἀφαιροῦμεν τῶν οε' ἐτῶν τοῦ ἀφέτου· καὶ οὕτω μὲν εἴπερ εἷς ἐστιν ὁ ὑπαντήτωρ· εἰ δὲ β', εἰ μὲν καὶ ἄμφω κακοποιοὶ καὶ ἀμφοτέρων ὁμοίως τὸ ἀπὸ τῶν ὡριαίων χρόνων οἰκείως ἑκάστου συναγόμενα ἔτη ἀφελοῦμεν τῶν τοῦ ἀφέτου ἐτῶν· εἰ δ' ἀγαθοποιοί, καὶ ἀμφότερον προσθήσομεν· εἰ δ' ἀγαθοποιὸς μὲν ὁ εἷς, κακοποιὸς δὲ ὁ ἕτερος, τὰ ἐλάσσονα ἐκ τῶν μειζόνων ἀφελόντες, τὰ λοιπά· εἰ μὲν ἐκ τῶν τοῦ ἀγαθοποιοῦ ἦσαν, προσθήσομεν τοῖς τοῦ ἀφέτου· εἰ δ' ἐκ τῶν τοῦ κακοποιοῦ, ἀφελοῦμεν.

Οὕτω μὲν οὖν ἐπὶ τῶν ἡμερινῶν ποιοῦμεν γενέσεων· ἐπὶ δὲ τῶν νυκτερινῶν τἄλλα μὲν ἀπαραλλάκτως· τοὺς μέντοι ἀναφορικοὺς χρόνους τοῦ ἀφέτου καὶ τοὺς ὡριαίους τοῦ ὑπαντήτορος ἐκ τῶν παρακειμένων ταῖς διαμετρούσαις, τῇ τε τοῦ ἀφέτου καὶ τῇ τοῦ ὑπαντήτορος λομβάνομεν. « ἐὰν δὲ ἐπὶ τοῦ δύνοντος δωδεκατημορίου τύχῃ ὁ « ἀφέτης, ὅρα, φησὶν ὁ Παγχάριος, μὴ ἐὰν οὕτω ποιῶμεν, τουτέστιν « εἰς τὰ προηγούμενα ἀπὸ τῆς συνεγγιζούσης τῇ δυτικῇ μοίρᾳ ἦν καὶ « ἀναιρετικήν φησι τῆς ἀφέσεως γινομένης, ἄχρονος ἔσται ὁ τῆς ζωῆς « κύριος ». τοῦτο δέ φησιν ἢ λαθεῖν τὸν Πτολεμαῖον εἰς τὸ διευκρινῆσαι, ἢ μὴ λαθὸν παραπέμπειν τὴν τούτου διάκρισιν πρὸς τοὺς ἐπιστήμονας· ὅθεν ἐγκρίνει ὁ Παγχάριος ὡς ἐὰν εὑρεθῇ ὁ ἀφέτης ἐπὶ τοῦ δυτικοῦ ὁρίζοντος, εἰς τὰ ἑπόμενα τὴν ἄφεσιν αὐτοῦ ποιήσομεν· οὕτω γὰρ καὶ τὸ προαναφωνηθὲν αὐτῷ συμφωνήσει περὶ τῆς ἀφέσεως, ὅτι οὐ μόνον εἰς τὰ προηγούμενα γίνεται, ἀλλὰ καὶ εἰς τὰ ἑπόμενα. ἐπὶ μὲν γὰρ τῶν ε' μοιρῶν τῶν πρὸ τῆς δυνούσης οὐκ ἀμφίβολόν φησιν εἶναι ὅτι εἰς τὰ ἑπόμενα οἴσομεν τὸν ἀφέτην ἐπ' αὐτὴν τὴν δύνουσαν, ἀλλ' ὅμως εἰ αὕτη ἀναιρετικὴ εἴη, ὀλιγοχρόνια ἔσται. εὕρομεν δὲ πολλάκις, φησί, τῇ πείρᾳ καὶ ἐπὶ τούτων τῶν μοιρῶν καὶ ἐπὶ τῶν ἑξῆς τῇ δυνούσῃ μοίρᾳ δυνάμενον εἶναι ἀφέτην καὶ ὀλιγοχρονίους μὴ ποιεῖν τὰς γενέσεις.

« Περὶ μὲν δὴ τοῦ ἑνὸς τρόπου τῶν ἀφέσεων τοῦ εἰς τὰ προηγούμενα τοσαῦτα εἰρήσθω. μεταβὰς δ' ἐντεῦθεν ὁ Πτολεμαῖος καὶ ἐπὶ τὸν ἕτερον τρόπον τὸν εἰς τὰ ἑπόμενα ποιοῦντα τὴν ἄφεσιν, ὅταν ἀπὸ τῆς

1 γ' νβ' ἔγγιστα] Hic numerus ita expediri potest. Pars horae duodecima v est, horarum autem xv et dimidia i hora xvii semis., qua per iii multiplicata numerus γ' νβ-γ' obtinetur. 17 δωδεκατημορίου] locus vacuus in P. τύχῃ] ὢν. 19-20 ἀπὸ — γινομένης] συνεγγυζόντων τῇ δυνούσῃ μοίρᾳ ἦν ἀναιρετικὴν καλεῖ. 21-23 φᾶναι (*sic*) ἢ μὴ λαθόντα παραπέμψεσθαι, ὅθεν αὐτόν, ὅθεν ἐγκρίνει ὅτι ἐὰν εὑρεθῇ... 24 ποιήσαιμεν. 25 ὅτι] τῆς. 26 εἰς τὰ προηγ. εἰς τὰ ἑπόμ. 27 οὐκ ἀμφίβολον οὐδέν φησιν εἶναι. 28 οἴσομεν. 30 τῶν ε' μοιρῶν. 32 ἑνὸς — προηγούμενα] κατὰ θεὸν ζῳδίου καὶ τοῦ δυτικοῦ ὁρίζοντος τῶν τε ἀπ' αὐτοῦ ἀφέσεων. 33-34 μεταβὰς δὲ ὁ Πτολ. κ. ἐπὶ τὸν ἕτερον τρόπον τὴν ἀπὸ τοῦ μεσουρανήματος ἕως τοῦ ὡροσκόπου καὶ αὐτοῦ (τὸ?) ταῦτά φησι· κατὰ δὲ τὴν...

μεσουρανούσης μοίρας ἄχρι καὶ τῆς ὡροσκοπούσης ὁ ἀφέτης εὑρίσκηται, κατὰ δὲ τὴν εἰς τὰ ἑπόμενα τῶν ζῳδίων, φησίν, ἄφεσιν ἀναιροῦσιν οἵ τε τῶν κακοποιῶν τόποι Κρόνου καὶ Ἄρεως, ἤτοι σωματικῶς ὑπαντώντων ἢ ἀκτῖνα ἐπιφερόντων, ὁθενδήποτε τετράγωνον ἢ διάμετρον· ἐνίοτε δὲ καὶ ἐπὶ τῶν ἀκουόντων ἢ βλεπόντων κατ' ἰσοδυναμίαν, ἑξάγωνον. Καὶ αὐτὸς δὲ ὁ τῷ ἀφετικῷ τόπῳ τετράγωνος ἀπὸ τῶν ἑπομένων· ἐνίοτε <δὲ> καὶ ἐπὶ τῶν πολυχρονιούντων <δωδεκατημορίων> πάλιν κακωθεὶς ὁ ἑξάγωνος ἀναιρεῖ· ἐπὶ δὲ τῶν ὀλιγοχρονιούντων πάλιν κακωθεὶς ὁ τρίγωνος. » ὅταν, φησίν, ὁ ἀφέτης ἐν τῷ ἑτέρῳ τόπῳ τῷ ἀπὸ τῆς μεσουρανούσης μοίρας ἄχρι τῆς ὡροσκοπούσης ὑπάρχῃ, « παρατηρητέον τὰς ὑπαντήσεις τῶν κακοποιῶν Κρόνου καὶ Ἄρεως, ἢ σωματικῶς [f. 129r] ὑπαντώντων, τουτέστιν ἐν τῷ αὐτῷ ζῳδίῳ ὄντων, ἐν ᾧ δηλονότι καὶ ὁ ἀφέτης ἐστίν, ἢ ἀκτῖνα ἐπιφερόντων ποθὲν τετράγωνον ἢ διάμετρον, ἢ καὶ ἐν ταῖς ἐφεξῆς μοίραις τοῦ ἀφέτου, ὁμοίως. « ὑποτίθεται δὲ τὸν μὲν ἀφέτην ὡς ἀκίνητον, τὸν δὲ ἀναιρέτην ἐπὶ τὸν ἀφέτην παραγίνεσθαι καὶ οὕτως ἀναιρεῖν.

« Τὰ μὲν οὖν τετράγωνα σχήματα καὶ διάμετρα ὡς ἀναιρετικὰ παρείληφε, τὰ δὲ τρίγωνα ὡς συμπαθῆ, καὶ τὰ ἑξάγωνα δὲ ὁμοίως, ἀλλ' ὡς ἀσθενέστερα. ἐνίοτε γάρ, φησί, καὶ ἐκ τούτων ἀναίρεσις γίνεται, οὐ μέντοι ἁπλῶς οὐδ' ὡς ἔτυχεν, ἀλλ' ὡς ἐπὶ τῶν ἀκουόντων ἢ βλεπόντων κατ' ἰσοδυναμίαν ἑξάγωνον· ἀκούειν δὲ ἀλλήλων λέγονται » τὰ ἀπὸ τοῦ αὐτοῦ ἢ καὶ ὁποτέρου τῶν ἰσημερινῶν σημείων κατ' ἴσην διάστασιν ἐσχηματισμένα ζῴδια. βλέποντα δέ εἰσι τὰ ἴσον ἀπέχοντα τῶν τροπικῶν, ἰσοδυναμοῦντα δὲ ἑξαγώνοις ἔστιν ὅταν ἐν β' ζῳδίοις ἡ ἀπόστασις ξ' μοιρῶν ᾖ· οἷον ὁ ἀφέτης ἔστω ἐν Ἰχθύων μοίρᾳ α', ὁ δὲ ἀναιρέτης ἐν Κριοῦ μοίρᾳ λ'· τοῦτο τὸ σχῆμα ἑξάγωνόν ἐστι β' ζῴδια ἀκούοντα περιέχον. ἢ πάλιν ἔστω ὁ ἀφέτης ἐν Διδύμων μοίρᾳ α', ἀναιρέτης δὲ ἐν Καρκίνου λ'· καὶ τοῦτο τὸ σχῆμα ἰσοδυναμεῖ ἑξαγώνῳ ἐν ζῳδίοις ὄντι βλέπουσιν ἄλληλα. καὶ οὕτω γὰρ ἐὰν τύχωσιν ἔχοντες οἱ κακοποιοὶ πρὸς τοὺς ἀφέτας, ἀναιροῦσι. καὶ πάλιν φησίν· ἐνίοτε δὲ καὶ ἐπὶ τῶν πολυχρονιούντων ζῳδίων κακωθεὶς ὁ ἑξάγωνος, τουτέστι παρεκταθείσης τῆς ἑξακονταμοιρίας εἰς πλείονας ποσότητας μοιρῶν, ὡς γενέσθαι τὸν ἑξάγωνον ἔγγιστα τετράγωνον διὰ τὸ ἑκάτερον τῶν περιεχομένων ζῳδίων πλείονας περιέχειν ἀναφορὰς τῶν λ', καὶ ἐπὶ τῶν ὀλιγοχρονιούντων δὲ ὡσαύτως κακωθεὶς ὁ τρίγωνος, τουτέστιν ἐπὶ τῶν ὀλιγαναφόρων ζῳδίων δ' ὄντων ἐλάττων συνάγηται ἡ ποσότης τῶν ἀναφορῶν αὐτῶν τῆς τῶν ρκ' μοιρῶν κυρίως τριγωνικῆς πλευρᾶς.

« Τοῦτο δὲ τὸ λεχθὲν ὑπὸ Πτολεμαίου, φησὶν ὁ Παγχάριος, καὶ τῷ « εἰρημένῳ μοι ἔμπροσθεν, ὅτι οὐ δεῖ τὰ μεταξὺ τῶν κέντρων δωδε-

1 μεσουρανήσης cod. hic et infra. 5 ἐπὶ] ἀπὸ. 6 ἑξαγώνων. ἀπὸ] ἐπί. 7 δὲ addo ex Heph. 9 Ptol., ibid. 15 δὲ] γὰρ. κινητὸν. τῷ δὲ. 16 παρειλήφαμεν. 17 ὡς om. 18-19 ὁμοίως — ἐνίοτε] ἀλλὰ ἀσθεν. ὅμως ἐνίοτε. 20 ἢ] καὶ. 21 ss. Sim. in Heph., qui Thrasylli sententiam refert.

« κατημόριον ἀνὰ λ' μοίρας ποιεῖν, ἀλλὰ κατὰ τὴν ἐκτεθεῖσάν μοι μέθο-
« δον πάνυ συμφωνεῖ. ἀναιρετικὸν δὲ τόπον διὰ μέσων τῶν ῥηθέντων
« εἶπε, τὸ καὶ αὐτὸς δὲ ὁ τῷ ἀφετικῷ τόπῳ τετράγωνος ἀπὸ τῶν ἑπομέ-
« νων· τὴν γὰρ τετραγωνικὴν πλευρὰν πρὸς τὸν ἀφετικὸν καὶ μὴ ὄντος
« κακοποιοῦ ἐν αὐτῇ τὰ αὐτὰ δύνασθαι τῷ κακοποιῷ, ὥστε καὶ ἄφευκ-
« τον ὡρίσαντο ταύτην οἱ παλαιοί. »

« Ἐξῆς δέ φησιν ὁ Πτολεμαῖος· « καὶ τῆς Σελήνης ἀφιείσης ὁ τοῦ Ἡλίου τόπος ἀναιρεῖ· ἰσχύουσιν γὰρ αἱ τὴν τοιαύτην ἄφεσιν ὑπαντήσεις καὶ ἀναιρεῖν καὶ σώζειν· ἐπειδὴ καὶ αὗται τῷ τοῦ ἀφέτου τόπῳ ἐπιφέρονται, » καὶ τὰ λοιπὰ ἄχρι τοῦ βοηθούμενος καὶ ἀναλελυμένος· Σελήνης ἀφιείσης, φησί, καὶ ὁ ἡλιακὸς τόπος ἀναιρεῖν δύναται· μάλιστα δὲ ἂν συντραπῇ ὑπό τινος κακοποιοῦ συνόντος, ὑπὸ μηδενὸς δὲ ἀγαθοποιοῦ βοηθηθῇ ἢ ἀναλυθῇ, ἤγουν ἐμποδισθῇ τοῦ κακοποιῆσαι· καὶ πάλιν σώζειν δύναται ἐναντίως ἔχων. ἐπάγει δὲ καὶ ἐπὶ πάντων τὸ αὐτὸ τοῦτο παρατηρεῖσθαι τῶν φθοροποιῶν δυναμένων, ἐὰν εἰς ὅρια ἐκπέσωσιν ἀγαθοποιοί, « ἢ καὶ ἐὰν τῶν ἀγαθοποιῶν [f. 129v] τις ἀκτῖνα συνεπιφέρῃ τετράγωνον ἢ τρίγωνον ἢ διάμετρον ἤτοι ἰσομοίρως πρὸς αὐτὴν τὴν ἀναιρετικὴν μοῖραν ἢ εἰς τὰ ἑπόμενα αὐτῆς, ἐπὶ μὲν Διὸς μὴ ὑπὲρ τὰς ιβ' μοίρας, ἐπὶ δὲ Ἀφροδίτης ὑπὲρ τὰς η'. Καὶ ἐὰν σωμάτων ὄντων ἀμφοτέρων, » τουτέστι σωματικῶς συνόντων τοῦ τε ἀφέτου καὶ τοῦ ἀναιρέτου μὴ ᾖ καὶ ἀμφοτέρων τὸ αὐτὸ πλάτος, τουτέστι μὴ κατὰ τὸν αὐτὸν ἄνεμον τρέχωσιν. ἐὰν γὰρ ἐπὶ τοῦ αὐτοῦ ὦσιν ἀνέμου, ἀναίρεσις γίνεται ὄντως· ὑπαύγους δὲ ὄντας τοὺς ἀστέρας ἀδρανεῖς εἶναι πρὸς τὸ ἀναιρεῖν ἢ σώζειν.

« Ἐπιλέγει δὲ καὶ ὅπως δεῖ τά τε βοηθοῦντα καὶ βλάπτοντα συγκρίνειν καὶ ὁποῖα τούτων ἐπικρατεῖ ἐκ τε τοῦ πλήθους καὶ τῆς δυνάμεως ἑκατέρων πρὸς ἐπίτασιν ἢ ἄνεσιν τῶν ἑκατέρωθεν συμβαινόντων.

« Ταῦτα παραγγείλας καὶ διδάξας ὅπως δεῖ τὸν ἀναιρέτην ἐκλέγεσθαι, μεταβαίνει εἰς τὸν περὶ διαστάσεων λόγον, τουτέστι τοὺς βιωσίμους χρόνους ὅπως δεῖ λογίζεσθαι διδάσκων καὶ ἅμα αἰτιώμενος τοὺς πρὸ αὐτοῦ ὡς οὐκ εὐλόγως τοῖς ἀναφορικοῖς χρόνοις χρωμένους μόνοις, ἀλλὰ τούτοις μὲν μόνοις φησὶ δεῖν χρῆσθαι ὅταν ἡ ἄφεσις ἀπὸ τοῦ ὡροσκόπου γίνηται ἢ τινος τῶν ἑπόντων αὐτῷ ἀστέρων· ἐπὶ μὲν τοῦ μεσουρανίου τοῦ ἀφέτου ὄντος ταῖς συμμεσουρανήσεσι ταῖς ἐπὶ τῆς ὀρθῆς σφαίρας δεῖν χρῆσθαι· ἐπὶ δὲ τοῦ δυτικοῦ ὁρίζοντος ταῖς καταφοραῖς, τουτέστι ταῖς τῶν διαμετρούντων ζῳδίων καταφοραῖς· ἐπὶ δὲ τῶν μεταξὺ τῶν κέντρων ὄντος τοῦ ἀφέτου, ἀνάλογον τῇ πρὸς τά β' κέντρα θέσει αὐτῶν.

17 ἐπιφέρει. 18 αὐτῇ (?). 19 μὴ ὑπὲρ τὰς η'. Sequuntur in Heph. similia, deinde fere eadem. 27 πρὸς — συμβαινόντων] πρὸς αὐτῶν (?) συναναίρεσιν τῶν ἑκατέρων. 28 καὶ διδ. — ἐκλέγεσθαι om. 29 διαβαίνει. Ptol., p. 338. 34 μεσουρανήσεσι. 36 τῶν διαμέτρων διαφοραῖς. 37-39 ἀνάλογον — αὐτῶν] ἀνάλογα τῆς πρὸς τὰ β' τὰ περιέχοντα αὐτὸν κέντρα ἀφέσεως.

« Ὡς μὲν οὖν συντόμως εἰπεῖν, τοῦτο βούλεται· ἐπεὶ δὲ αἰτίαν τῆς ἀνισότητος τῶν τοιούτων χρόνων προαποδίδωσι διδασκαλικῶς τε αὐτὴν προάγων καὶ οἱονεὶ γραμματικῶς. φέρε καὶ ἡμεῖς προσθῶμεν τῷ μέρει τούτῳ εἰς σαφηνείαν τῶν εἰρημένων. οἱ ἰσημερινοί, φησί, χρόνοι ὁμαλῶς διέρχονται τόν τε ὁρίζοντα καὶ τὸν μεσημβρινὸν ἐπὶ μόνης τῆς ὀρθῆς σφαίρας· ἐπὶ ταύτης γὰρ ἀνατέλλεται καὶ δύνει τὰ ζῴδια ἐν ὅσοις χρόνοις καὶ τὸν μεσημβρινὸν διέρχεται πανταχόθι. καὶ διὰ τοῦτο χρησίμους ἡγεῖται εἶναι πρὸς τὸ προκείμενον τοὺς ἐπὶ τοῦ κατὰ τῆς ὀρθῆς σφαίρας χρόνου. ἐπεὶ δὲ οὐδὲν ἕτερον πρόκειται νῦν ἰδεῖν ἢ τὸ μετὰ πόσους ἰσημερινοὺς χρόνους ἡ ἀποδειχθεῖσα ἀναιρετικὴ μοῖρα παραγίνεται ἐπὶ τὸν τοῦ ἀφέτου τόπον, οὐκ ἐν πᾶσι δὴ τοῖς κλίμασιν ὁμαλῶς οἱ χρόνοι διέρχονται τὸν ὁρίζοντα καὶ τὸν μεσημβρινὸν ὥσπερ ἐπὶ τῆς ὀρθῆς σφαίρας· ἄλλοι μὲν γὰρ οἱ τῆς ἀνατολῆς, ἄλλοι δὲ τῆς μεσουρανήσεως, καὶ ἕτεροι τῆς καταδύσεως, ὧν τὴν παραλλαγὴν ἔστιν ἰδεῖν ἐν τοῖς τῶν ἀναφορῶν κανόσι.

« Διὰ τοῦτό φησιν· ἐὰν εὑρεθῇ ἀφέτης μεταξὺ τῶν κέντρων, πῶς δεῖ γνῶναι ἐνταῦθα μετὰ πόσους ἰσημερινοὺς χρόνους ἐπὶ τὴν τοῦ ἐφέτου μοῖραν ἥξει ἡ ἀναιρετικὴ μοῖρα· ἀνάγκη γὰρ παραλλαγήν τι τῶν χρόνων εἶναι τῆς διελεύσεως παρὰ τὰς ἐν τοῖς κέντροις. τίνα δὲ τρόπον ἡ τοιαύτη γίνεται διαφορὰ δείκνυσι διὰ τούτων· « ὅμοιος μὲν γάρ, « φησί, καὶ ὁ αὐτὸς τόπος ἐστὶν » ἕως τοῦ « δι' ἀνίσων ἐκείνοις χρόνων « τὰς παρόδους ἀπεργάζεται. »

[f. 130r] « Πάλιν ὁ Παγχάριος ἐξηγούμενος τὸν τόπον τοῦτον· ὥσπερ « εἴπομεν, φησίν, ἐπὶ τῆς λοξώσεως τοῦ ζῳδιακοῦ πρὸς τὸν ἰσημερινόν, « ὅτι ὅμοιός ἐστι καὶ ὁ αὐτὸς τόπος ὁ τὴν ὁμοίαν καὶ ἐπὶ τὰ αὐτὰ μέρη « θέσιν ἔχων ἅμα πρός τε τὸν ὁρίζοντα καὶ τὸν ἰσημερινόν, » ἀνόμοιος δὲ ἄλλως ἔχων, τοῦτο κἀνταῦθα συμβαίνει· ἂν γὰρ μεταξὺ τῶν κέντρων ἡ τοῦ ἀφέτου μοῖρα ᾖ ἐπὶ τοῦ ζῳδιακοῦ, οὐκ ἔχει τὴν αὐτὴν καὶ ὁμοίαν θέσιν καὶ ἐπὶ τὰ αὐτὰ μέρη. τὰ αὐτὰ δὲ μέρη λέγει τά τε βορειότερα τοῦ ἰσημερινοῦ καὶ τὰ νοτιώτερα, καθὰ δὴ ἡ λόξωσις οὐχ ὁμοίαν ποιεῖ τὴν θέσιν πανταχοῦ ἐπὶ τοῦ ὁρίζοντος καὶ τοῦ μεσημβρινοῦ· « συμβαίνει δέ, φησίν, ὁμοιότητα γίνεσθαι ἐάν ἡμικύκλιον ποιήσαντες ἀπὸ τῶν τομῶν τοῦ τε ὁρίζοντος καὶ τοῦ μεσημβρινοῦ, διαγάγωμεν διὰ τῆς μοίρας τοῦ ζῳδιακοῦ, ἧς τὴν ὁμοίαν ζητοῦμεν διάστασιν ἀπό τε τοῦ ὁρίζοντος καὶ τοῦ μεσημβρινοῦ. » περιενεχθείσης γὰρ τῆς σφαίρας καὶ ἐπὶ τοῦ κατὰ τὸ ἡμικύκλιον ἑτέρου σημείου τὴν μοῖραν περιαγαγούσης

1 ἐπειδὴ. 2 τῶν τοιούτων χρόνων — διδασκαλικῶς] τῆς τοιαύτης διελεύσεως τὸν χρόνον ἀποδίδωσι διδ. 3 προσάγων. γραμμικῶς. 5 Ptol., ibid. 7 πανταχόθεν. 10 ἀποδειχθεῖσα] δοκοῦσα. 16 φησίν om. 18 μοῖραν] θέσιν. 19 παρὰ — κέντροις] περὶ τοὺς ἐν τ. κ. 20-21 Locus integer in Heph. comparet. 23 ἐξηγεῖται et φησίν om. 26-31 Sim. in Heph. 26 ἰσημερινὸν] μεσημβρινόν. 30 οὐχ] καὶ. 32 ὁμ. γίν. om. 33 Post μεσημβρινοῦ, add. Heph. : αὐταὶ δὲ αἱ τομαί ἐσιν τό τε ἔξαρμα τὸ τῆς σφαίρας καὶ τὸ (*sic*) διάμετρον αὐτῆς καὶ περιγράφουσιν διαγάγωμεν. 35 ὁρίζοντος] μεσημβρινοῦ.

αἱ αὐταὶ ἔγγιστα καιρικαὶ ὧραι γενήσονται τῆς ἀπὸ τοῦ μεσημβρινοῦ ἀποστάσεως. « ὥσπερ δέ, φησί, τῆς στροφῆς γινομένης ἡ αὐτὴ μὲν θέσις, ὥσπερ εἴπομεν, ἐπὶ τῶν κέντρων, τουτέστιν ἐπί τε τοῦ μεσημβρινοῦ καὶ τοῦ ὁρίζοντος γίνεται, αἱ δὲ <τοῦ> ζῳδιακοῦ διελεύσεις ἄνισοι ἐφ' ἑκατέρου εἰσίν, οὕτω κἂν μεταξὺ τούτων, <τουτέστι> τοῦ τε ὁρίζοντος καὶ τοῦ μεσημβρινοῦ, ἡ θέσις ᾖ, δι' ἀνίσων ἐκείνοις χρόνων αἱ διελεύσεις ἔσονται.

« Τὴν οὖν αἰτίαν τῆς ἀνισότητος δείξας ἐπὶ τὴν μέθοδον ἔρχεται, δι' ἧς τὸ ζητούμενον εὑρίσκεσθαι δύναται· λαβὼν γάρ, φησί, τὴν μεσουρανοῦσαν μοῖραν καὶ τὴν τοῦ ἀφέτου, ἣν προηγουμένην καλεῖ, σκόπει τὴν τῆς προηγουμένης θέσιν πόσας καιρικὰς ὥρας ἀπέχει τοῦ μεσημβρινοῦ. γίνεται δὲ τοῦτο οὕτως· δεήσει γὰρ σαφέστερον ἐκθέσθαι τὴν μέθοδον, ἐπειδὴ καὶ ἐπὶ πάσης θέσεως τῇ αὐτῇ μεθόδῳ κέχρηται ὡς ἀκριβεστάτῃ. πρὸς γὰρ τὸ εὑρεῖν πόσας ὥρας ἀπέχει τοῦ μεσημβρινοῦ ποιοῦμεν οὕτως. ὁρῶμεν ἐπὶ τοῦ κατὰ τῆς ὀρθῆς σφαίρας πόσοι χρόνοι παράκεινται τῇ τοῦ μεσουρανίου μοίρᾳ καὶ πόσοι τῇ τοῦ ἀφέτου, καὶ ἀφελόντες ἀπὸ τῶν πλειόνων τὰς ἐλάττους, τὰς λοιπὰς μερίζομεν παρὰ τὸ ὡριαῖον μέγεθος τὸ περικείμενον τῇ τοῦ ἀφέτου <μοίρᾳ> ἐν τῷ ὑποκειμένῳ κλίματι, ἐὰν ᾖ ὑπὲρ γῆν· εἰ δὲ ὑπὸ γῆν, τουτέστιν ἐν ταῖς περὶ τὸν ὁρίζοντα μοίραις τὸ τῇ διαμέτρῳ αὐτοῦ παρακείμενον, καὶ τὰς ἐκ τοῦ μερισμοῦ ὥρας ἢ καὶ μέρος ἔχομεν ἃς ἀπέχει ὁ ἀφέτης τοῦ μεσουρανήματος καιρικὰς ὥρας.

« Ἔπειτα τὸν ἑπόμενον τόπον ὁρῶμεν ποίαν καὶ αὐτὸς θέσιν ἔχει πρὸς τὸ μεσουράνημα, ἰδόντες πάλιν καὶ αὐτῷ τί παράκειται ἐπὶ τοῦ κατὰ τῆς ὀρθῆς σφαίρας, καὶ συγκρίναντες πρὸς ἃς ἔχομεν τοῦ μεσουρανίου, τουτέστιν ἀφελόντες τὰς ἐλάττους ἀπὸ τῶν πλειόνων. ἔχοντες οὖν τὰς ὑπολοίπους πάλιν τε ἰδόντες ἐν τῷ οἰκείῳ κλίματι παράκειται αὐτῇ τῇ τοῦ ἑπομένου μοίρᾳ ἐὰν ὑπὲρ γῆν ᾖ ὁ ἑπόμενος, εἰ δ' ὑπὸ γῆν τὸ τῇ διαμετρούσῃ, ὡριαῖον δηλαδὴ μέγεθος· καὶ ἐπὶ τούτου πολλαπλασιάσαντες τὰς ὥρας ἃς ἀπεῖχε τοῦ μεσουρανήματος ὁ προηγούμενος [f. 130v] τὸν γενόμενον ἀριθμὸν συγκρίνομεν πρὸς ὃν ἔχομεν τῆς θέσεως τοῦ ἑπομένου, τουτέστιν ἀφαιροῦμεν τὰς ἐλάττους ἀπὸ τῶν πλειόνων καὶ τοὺς λοιποὺς ἕξομεν χρόνους μεθ' ὅσους ὁ ἑπόμενος· ἥξει δὲ ἐπὶ τὸν τόπον τοῦ προηγουμένου, οἵπερ χρόνοι ἀντὶ τῶν παραλαμβανόντων.

« Ἡ μὲν δὴ μέθοδος αὕτη καθολική τέ ἐστι καὶ ἀκριβεστάτη· ἐπὶ πάσης γὰρ θέσεως ὄντος τοῦ ἀφέτου τὸ ἀκριβὲς εὑρίσκει. ἐφοδεύεται

4 γίνεται om. τοῦ ζῳδ. τοῦ addo ex Heph. ἀφ'] ἐκ. 5 τουτέστι addo ex Heph. 6 ἐκείνου. 15-16 πόσοι χρόνοι] πόσαι ἀναφορᾶς μοῖραι. 19 μοίρᾳ addo ex Heph. 21 ἐκ τούτου μεμερισμένας. 23 Supra ἑπόμενον cod. rubro : ἤγουν τὸν τοῦ ἀναιρέτου, manu vet. 25 συγκρίνων τις. 26 μεσουρανήματος. 29 τῇ διαμέτρῳ. 31 τὸ μεσουρήνημα cod. Corrigo ex Heph., qui addit ὁ ἀφέτης. 34-35 ἀντὶ τ. παραλ.] ἰσαρίθμους ἐνιαυτοὺς ποιοῦσιν. 36 ἀκριβεστέρα.

δὲ τῷ Πτολεμαίῳ ἀπὸ τῆς προειρημένης αἰτίας· φησὶ γὰρ ἀνατρέψας αὐτός· ἐπειδὴ τὰ τὰς αὐτὰς καιρικὰς ὥρας ἀπέχοντα τοῦ μεσημβρινοῦ τμήματα τοῦ ζῳδιακοῦ καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ γίγνεται τῶν εἰρημένων ἡμικυκλίου, δεήσει λαβεῖν μετὰ πόσους ἰσημερινοὺς χρόνους καὶ τὸ ἑπόμενον τμῆμα τὰς ἴσας τῇ προηγουμένῃ καιρικὰς ὥρας ἀφέξει τοῦ μεσημβρινοῦ. ταῦτα δὲ εἰληφότες ἐπισκεψόμεθα πόσους κατὰ τὴν ἐξ ἀρχῆς θέσιν ἀπεῖχεν ἰσημερινοὺς χρόνους ἡ ἑπομένη μοῖρα τῆς κατὰ τὸ μεσουράνημα ἐπὶ τοῦ κανόνος πάλιν τῆς ὀρθῆς σφαίρας καὶ πόσους, ὅτε τὰς καιρικὰς ὥρας ἐποίει ἡ προηγουμένη πολλαπλασιάσαντες καὶ ταύτας ἐπὶ τὸ πλῆθος τῶν τῆς ἑπομένης μοίρας ὡριαίων χρόνων, εἰ μὲν πρὸς τὸ ὑπὲρ γῆν εἴη μεσουράνημα, πάλιν ἡ σύγκρισις τῶν καιρικῶν πρὸς τὸ τῶν ἡμερινῶν· εἰ δὲ πρὸς τὸ ὑπὸ γῆν τῶν τῆς νυκτός. καὶ ἐκ τῶν γινομένων τὴν ὑπεροχὴν ἀμφοτέρων τῶν διαστάσεων λαβόντες ἔχομεν τὸ τῶν ἐπιζητουμένων ἐτῶν πλῆθος.

« Ἵνα δέ, φησί, φανερώτερον γένηται τὸ λεγόμενον, ἐκκείσθω ὑπόδειγμα, καὶ ὑποτίθεται τὸν ἀφέτην εἶναι ἐπὶ τῆς τοῦ Κριοῦ ἀρχῆς, τὸν δὲ ἑπόμενον ἐπί τῆς τῶν Διδύμων, κλίμα δὲ τὸ διὰ τῆς κάτω Αἰγύπτου· διαφόροις δὲ χρῆται ταῖς θέσεσι, πρῶτον μὲν ὡς ὡροσκοποῦντος τοῦ ἀφέτου, » μεσουρανούσης δὲ τῆς ἀρχῆς τοῦ Ταύρου, ὡς ἀπέχειν τὴν ἀρχὴν τῶν Διδύμων τοῦ ὑπὲρ γῆν μεσουρανίου χρόνου ρμη' μζ', οἵ τινες ἐπὶ τοῦ κατὰ τῆς ὀρθῆς σφαίρας παράκεινται τῇ ἀρχῇ τῶν <Διδύμων>. καὶ ἐπεὶ ς' ὥρας καιρικὰς ἀπέχει τὸ μεσουρανήμα τοῦ ὡροσκόπου, τῇ δὲ ἀρχῇ τῶν Διδύμων ἐπὶ τοῦ κανόνος τῶν ἀναφορῶν τοῦ αὐτοῦ κλίματος παράκειται ὡριαῖον μέγεθος χρόνων ιζ' η', τούτους πολλαπλασιάζων ἐπὶ τὰς ς' καιρικὰς ὥρας, ἐπειδὴ πρὸς τὸ ὑπὲρ γῆν μεσουράνημά ἐστιν ἡ τῶν ρμη' μζ' χρόνων ἀποχή, ποιεῖ πλῆθος χρόνους ρβ' μη'· καὶ ἔστιν ἡ ὑπεροχὴ τούτων χρόνων μς'· μετὰ μς' ἄρα χρόνων ἰσημερινοὺς ὁ ἑπόμενος τόπος ἐπὶ τὸν τοῦ προηγουμένου μεταβήσεται. πάλιν ὑποτίθησι μεσουρανεῖν μὲν τὸν ἀφέτην, τουτέστι τὴν ἀρχὴν τοῦ Κριοῦ, τὸν δὲ ἑπόμενον, ὡς πρότερον εἶχεν, ἦγουν ἐπὶ τῆς ἀρχῆς τῶν Διδύμων, ὡς ἀπέχειν κατὰ τὴν τοιαύτην θέσιν τὴν ἀρχὴν τῶν Διδύμων, τοῦ ὑπὲρ γῆν μεσουρανήματος χρόνοις νζ' νβ'. ἐὰν γὰρ τῶν ρμη' μζ' χρόνων τῶν περικειμένων τῇ ἀρχῇ τῶν Διδύμων ἐπὶ τοῦ κατὰ τῆς ὀρθῆς σφαίρας ἀφέλωμεν τοὺς περικειμένους τῇ ἀρχῇ τοῦ Κριοῦ ϙ' νε', τοὺς λοιποὺς ἕξομεν νζ' νβ', ἐν οἷς πάλιν διὰ τὸ μεσουρανεῖν τὸν ἀφετικὸν διέρχεται τὸν μεσημβρινὸν ὅ τε Κριοῦ καὶ ὁ Ταύρου. ἔρχεται καὶ ἐπὶ τὴν γ' θέσιν, καὶ ὑποτίθησι πάλιν τὸν

6 δὲ] μὲν. 8 ἐπὶ τοῦ κανόνος] διὰ τῶν ἀναφορῶν. 9 πότε. τῇ προηγουμένῃ. 13 ἐκ τῶν γιν. — διαστάσεων] καὶ τοὺς γιγνομένους ἐκ τῶν τῆς ὑπεροχῆς ἀμφοτέρων διαστάσεως. 15 Ptol., p. 338-9. 16 μὲν addo ex Heph. 17 κατὰ Αἰγυπτίους. 18 διαφ. δὲ ταῖς ἀφέσεσι χρ. 21 ρμη' μζ'] ρμη'. Hic et infra Hephaestionis codex nonnisi numeros integros praebere solet, noster vero fractiones addere. 22 Διδύμων addo ex Heph. 27 χρόνων cod.

ἀφέτην, ἦγουν τὴν ἀρχὴν τοῦ Κριοῦ δύνουσαν, [ὡς] ἀπέχειν τοῦ μεσουρανίου ὥρας ς', ὄντος τοῦ μεσουρανίου ἐπὶ τῆς ἀρχῆς τοῦ Καρκίνου. πάλιν δὴ ἐπὶ τῆς τοιαύτης [f. 131r] θέσεως ἀπέχει ἡ ἀρχὴ τῶν Διδύμων τῆς μεσουρανούσης μοίρας ὡς ἐπὶ τὰ ἑπόμενα χρόνους λβ' ιθ'· πάλιν γὰρ καὶ ἐνταῦθα ἐπὶ τοῦ κανόνος τῆς ὀρθῆς σφαίρας τῇ μὲν ἀρχῇ τοῦ Καρκίνου παράκεινται χρόνοι ρπα' ς', τῇ δὲ ἀρχῇ τῶν Διδύμων ρμη' μζ'. καὶ ἔστιν ἡ τούτων διαφορὰ λβ' ιθ'· καὶ πολλαπλασιάσας τὰς ς' καιρικὰς ὥρας ἃς ἀπέχει ἡ ἀρχὴ τοῦ Κριοῦ τῆς μεσουρανούσης μοίρας ἐπὶ τοὺς ιζ' η' ὡριαίους χρόνους τοὺς περικειμένους τῇ ἀρχῇ τῶν Διδύμων ἐπὶ τοῦ κανόνος τῶν ἀναφορῶν τοῦ γ' κλίματος, καὶ τοὺς γινομένους χρόνους ρβ' μη' συγκρίνας πρὸς τοὺς λβ' ιθ', εὑρίσκει τὴν ὑπεροχὴν χρόνους ο' κθ'.

Ἐν τοσούτοις ἄρα χρόνοις μεταβήσεται ἡ ἑπομένη μοῖρα ἐπὶ τὴν τῆς προηγουμένης. μετὰ δὲ τὴν τῶν γων θέσεων διαφορὰν ἐν αἷς καθ' ἕκαστον τῶν γων κέντρων τὸν ἀφέτην ὑπέθετο, πάλιν ὑποτίθησι τοῦτον μεταξὺ ὄντα τῶν β' κέντρων, τοῦ τε μεσουρανοῦντος καὶ τοῦ δύνοντος· « καὶ ἐκτίθησι μεσουρανεῖν Ταῦρον μοίρας ιη'.

« Ἐπεὶ τοίνυν ἡ τοῦ Κριοῦ ἀρχὴ ἔχει μὲν ὡριαίους χρόνους ιε', τῆς δὲ τοῦ Ταύρου μοίρας ιη', ἀπέχει ἐπὶ τοῦ κανόνος τῆς ὀρθῆς σφαίρας χρόνους ἔγγιστα με', μερίσας αὐτοὺς παρὰ τὸν ιε', εὑρίσκει ποιοῦντας γ' ὥρας καιρικάς. » διὰ τοῦτό φησιν ἀπέχειν τὸν ἀφέτην τοῦ μεσουρανίου εἰς τὰ προηγούμενα ὥρας καιρικὰς γ'· » καὶ ταύτας πολυπλασιάσας ἐπὶ τοὺς ιζ' η' ὡριαίους χρόνους τοὺς περικειμένους τῇ ἀρχῇ τῶν Διδύμων, τοῦ ὡριαίου δηλονότι μεγέθους ἐπὶ τοῦ γ' κλίματος, εὑρίσκει χρόνους να' κδ'. ἐπεὶ δὲ καὶ ἡ ἀρχὴ τῶν Διδύμων ἀπέχει τῆς μεσουρανούσης μοίρας εἰς τὰ ἑπόμενα χρόνους ιγ'· ἐπὶ γὰρ τοῦ κανόνος τῆς ὀρθῆς σφαίρας τῇ μὲν ἀρχῇ τῶν Διδύμων παράκεινται χρόνοι νβ' κγ' τῇ δὲ μεσουρανούσῃ μοίρᾳ ἤτοι τοῦ Ταύρου τῇ ιη', μη'· καὶ ἔστιν ἡ τούτων ὑπεροχὴ ιβ' ιε', οὓς συνθεὶς τοῖς να' κδ' τοὺς γινομένους ξγ' λθ' ἔσχε μεθ' ὅσους χρόνους ἰσημερινοὺς ὁ ἑπόμενος τόπον τὸν προηγούμενον ἐφέξει.

Ἐπὶ τούτοις εἰς ἀπόδειξιν τοῦ ἀκριβοῦς τῆς μεθόδου ἐκτίθησι τὴν παρὰ τὰς τοιαύτας θέσεις γινομένην διαφορὰν τῶν ἰσημερινῶν χρόνων, καθ' οὓς ὁ ἑπόμενος τὸν τοῦ προηγουμένου τόπον ἐπικαταλαμβάνει. ἐπὶ μὲν γὰρ τῆς κατὰ τὸν ὡροσκόπον θέσεως τοῦ ἀφέτου μς' ἀνεφάνησαν οἱ ἰσημερινοὶ χρόνοι· ἐπὶ δὲ τῆς κατὰ τὸ μεσουράνημα νζ' νβ'· ἐπὶ δὲ τῆς κατὰ τὸ δῦνον ο κθ'· ὁμοίως δὲ καὶ ἐπὶ τῆς μεταξὺ τοῦ μεσουρανοῦντος καὶ τοῦ δύνοντος ξγ' λθ'· διήνεγκε γὰρ καὶ αὕτη κατὰ τὸ ἀνάλογον τῆς τῶν γ' ὡρῶν ἀπὸ τοῦ μεσουρανήματος ἀποχῆς· ἐπὶ γὰρ τῶν ἄλλων κατὰ τὰ κέντρα τεταρτημορίων ς' ὥραις ἀλλήλων ἀπε-

18-19 τῆς δὲ τοῦ Ταύρου] τοῦ δὲ τοῦ Σκορπίου. 20 εὑρίσκει — καιρικὰς] εὑρ. ἀπέχοντα τὸν ἀφέτην τοῦ μεσουρανήματος καιρ. ὡ. γ'. 21-22 διὰ τοῦτο — καιρικὰς γ' om. Quae sequuntur sim. in Heph.

χόντων ιβ′ χρόν<ους> ἦν ἔγγιστα· ὡς τῆς α′ καιρικῆς ὥρας β′ χρόνους πλείονας ἐχούσης τῶν τῆς ἰσημερινῆς ιε′· ἐπὶ δὲ τῆς τῶν γ′ ὡρῶν ἀποστάσεως χρόν<ους> ς′. ἐπεὶ οὖν ἐπὶ πάντων ἡ αὐτὴ σχεδὸν ἀναλογία συντηρεῖται, δυνατόν ἐστι κατὰ τοῦτον τὸν τρόπον ἁπλούστερον τῇ μεθόδῳ χρῆσθαι· ἀλλὰ τοῦτο μὲν ὕστερον ῥηθήσεται.

Νῦν δ' ἄξιον σκέψασθαι περὶ τῆς ἄνωθεν ἐκτεθείσης αὐτῷ τελευταίας θέσεως, ἐν ᾗ ὑπέθετο τὸν ἀφέτην ἐν τῷ 0′ τόπῳ. δοκεῖ γὰρ ἐναντία λέγειν οἷς εἶπε πρότερον, ὅτε τὸν πρῶτον τρόπον τῆς ἀφέσεως παρεδίδου. ἐν ἐκείνῳ μὲν γὰρ ἔλεγεν ὡς εἰ τύχοι ὁ ἀφέτης εἰς τὰ προηγούμενα τῆς μεσουρανήσεως, πρὸς τὴν [f. 131v] δύνουσαν δεῖ ποιεῖσθαι τὴν ἄφεσιν, ἐνταῦθα δ' ὡς πρὸς τὰ ἑπόμενα, ἤγουν τὴν ἀρχὴν τῶν Διδύμων. μήπω οὖν εἰς σαφήνειαν μόνην τῆς μεθόδου καὶ τοῦτο συνῆψεν, ἀλλ' οὐχ ἵνα κατ' ἀνάγκην καὶ ἐπὶ τῆς τοιαύτης θέσεως ὁμοίως ταῖς ἄλλαις ποιῶμεν. οὐδὲ γὰρ κακολογήσομεν τὸν θεῖον ἄνδρα ἐκεῖνον ὡς μὴ καλῶς ἐπισκεψάμενον· καὶ ἣν δ' ἔφησεν ἁπλουστέραν μέθοδον ἐστιν αὕτη. ἀνατελλούσης μὲν τῆς προηγουμένης μοίρας, φησίν, ταῖς μέχρι τῆς ἑπομένης ἀναφοραῖς χρησόμεθα, μησουρανούσης δὲ ταῖς ἐπ' ὀρθῆς τῆς σφαίρας, δυνούσης δὲ ταῖς καταφοραῖς.

«Ὅταν δὲ ὁ ἀφέτης μεταξὺ τῶν κέντρων τύχῃ, ὡς φέρε εἰπεῖν, τοῦ μεσουρανίου καὶ τοῦ δύνοντος, χρὴ τάς τε συμμεσουρανήσεις καὶ συγκαταδύσεις λαβεῖν, ὡς ἐπὶ τῶν προκειμένων μεσουρανήσεων νη′ ἔγγιστα, καταδύσεων δὲ ο′ s″. ἔπειτα μαθόντες, ὡς πρόκειται, πόσας καιρικὰς ὥρας ἀπέχει ὁ ἀφέτης ὁποτέρου τῶν κέντρων ὅσον ἂν μέρος ὦσιν αὖ τῶν τοῦ τεταρτημορίου καιρικῶν ὡρῶν ς′, τοσοῦτον μέρος τῆς ἀμφοτέρων τῶν συναγωγῶν ὑπεροχῆς, προσθήσομεν τοῖς τοῦ ἑνὸς κέντροις ἢ ἀφελοῦμεν τῶν τοῦ λοιποῦ. οἷον ἔστω ἐπὶ τῶν προκειμένων τῶν μὲν ὡρῶν τῆς διαστάσεως τῶν κέντρων ἡ ὑπεροχὴ χρόνων ιβ′. ὑπέκειτο δὲ ὁ ἀφέτης ἀπέχων ἑκατέρου τῶν κέντρων ὥρας γ′, αἵ εἰσιν ἥμισυ τῶν ς′ ὡρῶν, καὶ τὸ ἥμισυ ἄρα τῶν ιβ′ χρόνων, ὅ ἐστι χρόνοι ς′· ἢ προσθήσομεν τοῖς νη′, καὶ γενήσον<ται> ξδ′, ἢ ἀφελοῦμεν ἀπὸ τῶν ο′ καὶ πάλιν ἔσονται ξδ′, καθὼς καὶ διὰ τῶν ἄνωθεν εὕρηται ἐπιλογισμῶν. εἰ δέ γε β′ ὥρας ἀπεῖχεν ὁ ἀφέτης ὁποτέρου τῶν κέντρων, αἵ εἰσι τρίτον μέρος τῶν ς′, τὸ τρίτον πάλιν τῆς ὑπεροχῆς τῶν χρόνων, τουτέστι τῶν ιβ′, ὅ ἐστι δ′. εἰ μὲν ἡ τῶν β′ ὡρῶν ἀποχὴ ἀπὸ τοῦ μεσουρανοῦντος ὑπέκειτο, προσεθήκαμεν ἂν τοῖς νη′ χρόνοις· εἰ δὲ ἀπὸ τοῦ δύνοντος, ἀφείλομεν ἂν τῶν ο′, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

17 Ptol., p. 339. 19-20 ὅταν — μεσουρανίου] φησὶν ὅτι ἐὰν εὑρεθῇ ὁ ἀφ. μετ. τ. κ. <ὡς> φέρε εἰπεῖν τοῦ μεσουρανήματος. 20 μεσουρανήματος. 21 λαβεῖν] καλεῖν. 22 ἔγγιστα om. συγκαταδύσεων. ο′ ς′′] ο′. 23 τοῦ ὁπ. 24 αὖ τῶν] αὗται τῶν. 25 τῆς] τοῦ. ὑπεροχῆς] μέρος. τοῖς κέντροις om. 26 τῶν τ. λ.] τῷ συγκρινομένῳ κέντρῳ. ἔστω om. προειρημένων. 27 χρόνων ἐστὶ ρβ′ male. ἀπέχειν. 29 χρόνων om. 34 τῶν ιβ′, τουτέστιν δ′. β′] νβ′ male. 35 ὑπόκειται. 36 καὶ ὁμοίως om.

» Τὰς μὲν οὖν μεθόδους τῶν βιωσίμων χρόνων τοιαύτας ἐξέθετο ἡμῖν ὁ θεῖος Πτολεμαῖος· ἐπιλέγει δὲ λοιπὸν ἐπὶ πάσαις πῶς δεήσει διακρίνειν τὰς οὕτω τῶν ἐνιαυτῶν εὑρισκομένας διαστάσεις ἢ ὡς τέλεον ἀναιρετικάς, ὅταν πρὸς τῷ κεκακῶσθαι τὴν ὑπάντησιν καὶ αἱ ἐπεμβάσεις αἱ κατὰ τὸν χρόνον βλαπτικαὶ πρὸς αὐτοὺς τοὺς τόπους εὑρίσκωνται, ἢ μόνον κλιμακτηρικάς, ὅταν τις, ὡς προείρηται, παρὰ τῶν ἀγαθοποιῶν ἐπὶ τῆς γενήσεως βοηθεία τις ᾖ, ἢ ἡ κατὰ τὸν χρόνον τῆς ὑπαντήσεως ἐπέμβασις αὐτῶν ἐπικουρῇ ἰσχύουσαν μᾶλλον τῶν ἐναντίων· φιλανθρωπούντων δὲ πάντων νωθρείας ἢ βλάβας μόνον ὑπονοητέον. οὐδὲν μέντοι ἔφη κωλύειν δισταζομένης τῆς τῶν ἀναιρούντων κυρείας ἐκ τῶν προσυμβάντων τὰς μᾶλλον συμφωνούσας, καὶ πρὸς τὰ μέλλοντα ἐφαρμόζειν, ἢ κατ' ἰσότητα εὑρισκομένων πρὸς ἅπαντα παρατηρητικῶς ἔχειν τὴν ἐπίτασιν καὶ ἄνεσιν, ὡς προείρηται, διακρίνοντας.

» Διὰ δὴ τούτων πάντων τὸ δύσκολον εἰς πρόγνωσιν τῆς συντελείας τῶν βιωσίμων χρόνων ὑπονοεῖν δίδωσιν [f. 132r] ὁ Πτολεμαῖος· πολλαὶ γὰρ ἀμφίβολοι προσθῆκαι· διὸ συμπεranθέντος μὲν τοῦ βίου ἄδηλον εὑρεῖν τὰς αἰτίας δι' ἃς τέθνηκεν, ἔτι δὲ ζῶντος χαλεπόν, καὶ μάλιστα ὅταν τις ἄσκοπος ὢν τύχῃ τῶν κατὰ τὴν ἔκβασιν τῶν ἐτῶν ἐπεμβάσεων τῶν λοιπῶν ἀστέρων· ἐφ' ὧν μέντοι γενέσεων ἀναμφίβολος ὁ ἀφέτης καὶ ὁ ἀναιρέτης μετὰ τοῦ γνωσθῆναι καὶ τὰς κατὰ τὴν τῶν ἐτῶν ἔκβασιν ἐπεμβάσεις καὶ θέσεις τῶν ἀστέρων εὐχερές ἐστιν, οἶμαι, ἀποφαίνεσθαι περὶ βίου συντελείας. καὶ Μανέθων δὲ ταῦτα εἶπεν ἐν τοῖς ἔπεσι περὶ χρόνων ζωῆς.»

[F. 132r.] Hephaest., II, 18. Περὶ τύχης ἀξιωματικῆς.

Μετὰ τὸ παραθεῖναι τὰ τῷ Πτολεμαίῳ περὶ τούτου ῥηθέντα «εὔλογον δέ, φησί, καὶ τὰ παρὰ τοῖς ἄλλοις καὶ μάλιστα Δωροθέῳ ἐκθεῖναι, ἵνα ἐκ πολλῶν δοκίμων τὴν συμφωνίαν τῆς ἀληθείας λάβωμεν. Φησὶν οὖν δεῖν καὶ τοῦ ὡροσκόπου τὸν κύριον καὶ τοῦ μεσουρανοῦντος καὶ τοῦ βίου πῶς κεῖνται ἐν τῇ γενέσει σκοπεῖν· ἐὰν γὰρ εὑρεθῶσι καλῶς κείμενοι, καλὰ σημαίνουσιν· ἐὰν δὲ ἐναντίως, ἐναντία· ἐὰν δὲ μέσως, μέσα. Καὶ τὸν κλῆρον δὲ τῆς τύχης τὸν κατ' αὐτήν, τουτέστιν ἐπὶ μὲν ἡμερινῶν γενέσεων ἀπὸ Ἡλίου ἐπὶ Σελήνην, καὶ τὰ ἴσα ἀπὸ

1 ἐκτίθεται ἡμῖν ὁ Πτολ. 2 πᾶσιν ὡς. Cf. Ptol., p. 334. 3 διαθέσεις. 6 παρὰ] περὶ. 7 ἢ. ἡ ἡ om. ἡ ἐπ.· ἃ γὰρ αὐτῶν ἐπικ. ἰσχύουσα. 9 μόνον] μὴ. 10-11 τῆς — κυρείας] τῆς ἀφέσεως τῆς. 11 ἐκ τούτων προσ. ἐφαρμόζουσι μᾶλλον καὶ πρὸς τὰ μ. πιστεύειν ἢ κατὰ ἰσ. 13 καὶ τὴν ἐπ. 15 χρ. τούτων. 47 διό] καὶ. 18 ἄδηλον] ῥᾴδιον. τὰς αἰτίας — τέθνηκεν] τὰς ἐναντίας διαθήκας. 19 ἄσκεπτος. 20 ἐπεμβάτων. 23 Post Μαν. δὲ] σχεδὸν add. Heph. 25 Cf. Ptol. *Tetrab.*, IV, 2; Procl., *Paraphr.*, IV, 3. 32 Leg. κατ' αὐτὸν sicut P.

ὡροσκόπου, ἐπὶ δὲ νυκτερινῶν ἀπὸ Σελήνης ἐπὶ τὸν Ἥλιον, καὶ τὰ ἴσα ὁμοίως ἀπὸ ὡροσκόπου καὶ τοὺς ὁρῶντας αὐτὸν ἀστέρας ποῖοί τέ εἰσι καὶ πῶς κεῖνται.

« Ἐὰν οὖν ὁ τοῦ κλήρου κύριος εὑρεθῇ ἐν κακῷ τόπῳ καὶ οἱ ἀγαθοποιοὶ ἀπόστροφοί εἰσι τῆς Σελήνης, οἱ δὲ κακοποιοὶ κεκεντρωμένοι ἢ ἐπανερχόμενοι, γνῶθι δυστυχῆ εἶναι τὸν οὕτως ἔχοντα. ἐὰν δὲ ἐν οἰκείοις ὥσι τόποις καὶ τὴν Σελήνην οἱ ἀγαθοὶ ἐποπτεύωσιν, εὐτυχῆ γνῶθι, δηλονότι αὐτῶν ὁρώντων καὶ τὸν κλῆρον. ἐὰν δὲ πάλιν ἐν τοῖς γενέσεσιν εὕρωμεν τοὺς μὲν κακοποιοὺς ἐπικέντρους, τοὺς δὲ ἀγαθοποιοὺς ἐπανερχομένους, καὶ ἡ Σελήνη δὲ τῶν μὲν κακοποιῶν ἀπορρεύσῃ, συνάψῃ δὲ τοῖς ἀγαθοῖς, οἱ τοιοῦτοι τὰ ὕστερα τοῦ βίου εὐτυχῶς ἔξουσιν.

« Ἄλλοι μέντοι τῶν ἀρχαίων εἰρήκασιν ἐν τῷ τόπῳ τούτῳ τῷ ἰατῳ μὴ κακοποιεῖν τοὺς κακοποιοὺς παρατυχόντας, ὧν εἷς καὶ Πορφύριος· ὅμως χρὴ αὐτοὺς παραδέχεσθαι ποσῶς βλάπτοντας προϊούσης τῆς ἡλικίας. « πάλιν, φησίν, ἀρίθμει ἀπὸ τοῦ κυρίου τοῦ βου τόπου ἕως » αὐτοῦ τοῦ βου, καὶ τὸν ἴσον ἀριθμὸν ἔκβαλλε ἀπὸ τοῦ ὡροσκόπου, καὶ » εἰς ὃ ἂν ζῴδιον ἐκπέσοι, ἐκεῖνο πάλιν σκόπει ποῖος τῶν ἀστέρων ἔχει, » καὶ πῶς κεῖται, ὁμοίως τοῖς ἄνω πρὸς τὸν τόπον, καὶ ἀποφαίνου. καὶ » ἐὰν μὲν ἀγαθοποιοὶ ἴδωσι τὸν τόπον, ἀγαθὰ σημαίνουσιν, εἰ δὲ κακο- » ποιοί, κακά. ἐὰν δέ τις τῶν ἀγαθοποιῶν ἴδῃ τὸν τόπον δυτικὸς ὢν καὶ » μέλλων μετὰ ζ' ἡμέρας ἀνατολικὸς γενήσεσθαι, καὶ οὕτως ὄλβον καὶ » πλοῦτον παρέξει· καὶ περὶ πάντων δὲ τῶν κλήρων ἐντέλλεται οὕτως. » ἐὰν καλὸν ζῴδιον ἐπέχῃ ὁ κλῆρος καὶ ὁ τούτου κύριος ἤτοι ὢν ἐν αὐτῷ » ἢ ἐν τοιούτῳ καλῷ καὶ ἔξαυγος, ἀγαθὰ πάμπολλα φέρει τῇ γενέσει. » ἐὰν δὲ ᾖ ὕπαυγος ἢ μέλλῃ κρύπτεσθαι, σίνη σημαίνει ὀλίγον φανέντα » καὶ ἔγγιστα ταχέως μαρανθέντα. »

« Λέγει δὲ καὶ τοῦτο· « σκέπτου τίς πρῶτος τῶν ἀστέρων ἐν τῇ » γενέσει ἔρχεται εἰς τὸν τῆς Σελήνης τόπον, ἢ καὶ τὸν [f. 132v] τοῦ » ὡροσκόπου· ὁ γὰρ προλαμβάνων ἐλθεῖν εἰς τοὺς τόπους τούτους » οὗτος μηνύσει τὰ μέτρα τῆς τύχης. »

Φέρε δὴ οὖν καὶ ἐνταῦθα προσθῶμεν τὸν τρόπον καθ' ὃν ἄλλοι ἐπισκέπτονται τὰς γενέσεις, οἱ περὶ Πετόσιριν καὶ Νεχεψώ, καὶ ἐξ αὐτῶν Ἀντίγονος ὁ Νικαεύς. « ἐγένετό τις, φησίν, ἔχων τὸν...

Quae sequitur imperatoris Hadriani genitura in *Catal.*, VI, p. 67, edita est; variae lectiones haecce :

P. 67, 7. μοίρ. κ'. 8. ἅμα τοὺς γ'.

P. 68, 1. ζῳδίου ἦγουν τοῦ. μοίρ(α) ε'. 2. τὸν δὲ Ἑρμῆν ἐπ' αὐτοῦ. 3. τὸν δὲ Ἄρεα ἐπ' αὐτοῦ. 4-9. Ἐν τῷδε τῷ — ἐν δευτέρῳ omis. 9-10. περὶ οὗ — θεμάτιον omis. 10-12. υἱοθετήθη παρά τινος αὐτοκράτορος συγγενοῦς καὶ αὐτὸς

11 ἀγαθοποιοῖς. 16 ἀπὸ τῆς ὥρας. 25 ἔξαυγος deest in lexicis, ubi ἐξαυγὴς invenitur. 26 σημαίνει] scil. Dorotheus, cuius versum unum hic adfert Heph.

δ' ὁμοίως περὶ τὸ μβον ἔτος ἐγένετο[1] ἦν δὲ φρόνιμος. 12-13. ὥστε — τεμένεσι omis. 13. συνεζεύχθη δὲ μίᾳ γυναικὶ ἀπὸ παρθενίας· ἐγένετο δὲ καὶ ἄτεκνος. 14. ὑπονοίᾳ (ἀπονοίᾳ habet P ut Vindob.). 15. ἔτη ἐτελεύτησεν ὑδροπικῇ. 16. δὲ οὕτως ἐγένετο τὰ περὶ αὐτὸν ἀπεξεργάζεται. 16-17. γέγονε μὲν γάρ, φησίν, αὐτοκράτωρ διὰ τὸ τὰ φῶτα ἐπὶ τοῦ ὡροσκόπου εἶναι. 18-20. οὖσαν τῆς αὐτῆς αἱρέσεως τῇ γενέσει· νυκτερινὴ γὰρ ἡ γένεσις, καὶ πρὸς τούτῳ διὰ τὸ συνάπτειν τὴν Σελήνην τῷ τε ὡροσκόπῳ μοιρικῶς καὶ τῷ Διὶ μέλλοντι καὶ αὐτῷ μετὰ ζ' ἡμέρας ἑψαν φάσιν ποιήσασθαι. 20. αὐτῶν δὲ. αὐτὴν ἄστρων. 21. ἰδίῳ ὑψώματι ὑπαρχούσης. 22. καὶ ἐν. 23-25. πρὸς τούτοις δ' ὅτι καὶ ὁ Ἥλιος ἐδορυφόρει αὐτὴν ἐν ταῖς ἑξῆς μοίραις ὤν, δορυφορούμενος καὶ αὐτὸς παρά. 26. τοῦ Ἑρμοῦ. 27. συνάπτειν ἔμελλε. ἀστέρων omis.

P. 69, 1. τῶν ἐπὶ. 2. ἐπὶ omis. 3. εὐχαρὴς. 6. ὑπῆρχεν omis. 6-7. ἐπὶ ἑψας φάσεως ὡς μετὰ Κρόνου ἐν τῷ ιβ' τόπῳ τυχεῖν. 7. ἐκ νέας δὲ. 9 ἐπὶ προβάσεως] προβάσης τῆς ἡλικίας. 12. καὶ εἰ ἐσπέριος δὲ εἴη καλῶς κείμενος. 13-14. προκειμένου θέματος, μεσουρανεῖ μὲν Σκορπίος, κύριος δὲ τοῦ Σκορπίου ὁ Ἄρης καὶ ἀκάκωτος. 14-16. μοίραις ἦγουν τοῖς ὁρίοις, καὶ ὁρῶν τὸ μεσουρανοῦν τριγωνικῶς· ἐὰν δὲ κακῶς κέηται ὁ κύριος τοῦ κατὰ κορυφὴν τόπου, τὰ ἐναντία ποιῇ (*sic*). 17. μετριότητας. 19. ἐν τῷ ὡροσκόπῳ ὤν. 20. τοῦ] τὸ. 21. τὰ τὴν. 25. περιγενέσθαι τῶν ἐχθρῶν συνέβη. 26. ἐν τῷ οἴκῳ τοῦ Κρόνου ὄντα μετ' αὐτοῦ τοῦ Κρόνου. 28. τὸ omis. Διὸς] Ἄρεως (signo astrol.). 29-30. ἀεὶ γὰρ οὗτος δορυφορῶν τὸν Ἥλιον ἢ τὴν Σελήνην ποιεῖ ὑπὸ τῶν ὁμοτίμων[2] ἢ καὶ. 31. δ' ὁμοίως διὰ τὸν Δία ἔσχεν οὕτως τυγχάνοντα. 32. ὑπὸ πολλούς.

P. 70, 1. ἐπίκεντρον οὖσαν δορυφορεῖσθαι ὑπὸ τῶν ε' πλανωμ. οἰκείως. 2. ὁ Ἥλιος καὶ ἡ Σελήνη. 3. τύχοντες transp. post μεσουράνημα. 5. τῆς τοιαύτης γεννωμένους βασιλεῖς. 7. φρονίμους, πεπαιδευμένους, οὐ μὴν ἀγαθοθελεῖς, ἀλλὰ δολερούς. 10. ἐνταῦθα omis. 11. καθολικὸν δὲ νυκτὸς ἔστω ἐπὶ. 12. ἢ καὶ. ἡ δὲ Σελήνη πρὸς τὴν Ἀφροδίτην. 13-14. ποιῆται καὶ ἑτέροις ἄστρασι (*sic*) συμπαρατετυχόσι τῆς Ἀφροδίτης ἢ καὶ ἐπιμαρτυροῦσιν αὐτῇ πολλοὺς τοὺς γάμους ποιεῖ τῷ οὕτως γεννωμένῳ. 15. ποιῆται. 16. ἐὰν δὲ (μόνη in marg.) ἡ Σελήνη. 17. συνάπτῃ. τινι transp. post αὐτῇ. 18. φέρηται. δὲ omis. 19. ἀστέρι τινί. 20. δὲ τρόπος τῷ οὕτως γεννωμένῳ. 22. ἡ γὰρ Σελήνη. συνῆπται. 23. Ἥλιον συνοδικῆς[3] φάσεως· εἰ δὲ πλείοσι. 27. γεννώμενοι καὶ τοῦτο δὲ χρεὼν εἰδέναι ὡς κατὰ τὴν τῆς. 29. ἀγαθῶν omis. (habet P). 30. ἢ omis. ἐπαναφορῶν. 31. οἰκείως omis. 34. καὶ (sine ἢ). 36. οὐχὶ] οὐκ.

P. 71, 1. ἀπεκδεχόμενος. 1-2. σπάνιν ἀδελφῶν ἀρρένων ποιεῖ. 3. τὸν ὡροσκόπον στάσις ἀπειργάσατο. 4. χρηματίζων. 4-5. διὰ τί (διόπερ habet P). δὲ ἐν. 6. τοῦ υἱοποιηθῆναι τοῦτον; ὅτι ὁ τοῦ. 7. ἦν τῇ Σελήνῃ ἐν ζῳδίῳ οἴκῳ οἴκῳ ὄντι

[1] His verbis — locus in ceteris codicibus corruptus est — luculenter confirmatur imperatoris Hadriani hanc esse genituram; nam quadragesimum secundum annum agens imperator factus est. [F. C.]

[2] Confirmatur hoc codice coniectura Krollii.

[3] Lacuna ceterorum codicum expletur.

(li. Ζωδιακῷ οἴκῳ ὄντι ?) τοῦ Κρόνου. 7-8. τὸ αἴτιον γέγονε τῆς τοῦ ὕδρωπος νόσου καὶ δυσπνοίας καὶ τοῦ θανάτῳ κακῷ. 9. διότι τῶν. ἐμπερισχόντων. 10. καὶ τοῦ δυτικοῦ ἤγουν τοῦ Κρόνου ἐν. 11. ἀνὰ ἓν σχῆμα. 12-13. καὶ τῆς. 13. γενήσεται. 15. τὴν τε. 16-17. ἐκτροπῆς· ἐν γὰρ τῇ τεσσαρακοσταίᾳ ἡμέρᾳ τῇ μετὰ τὴν τοιαύτην γένεσιν εὑρίσκεται ἡ Σελήνη ἐν Καρκίνῳ, ὁ δὲ Ἄρης ἐν Κριῷ, Κρόνος δὲ ἐν Αἰγόκερῳ. 19. τὴν Σελήνην καθορᾶν. 20. τοῦ δεξιοῦ. 21. καὶ ἔτι οὐ μόνον. 23. καὶ πόσους. 23. ζωτικοὺς πληρώσας. 26. τελευτήσει· γνώσῃ δ' ἐκ τῆς Σελήνης· αὕτη γὰρ [1]. 25. ὅσοι δὲ (sine καὶ) ἀναφορικοὶ χρόνοι τῶν ζῳδίων εἰσὶν ἀπ' αὐτῶν ἕως τῆς τοῦ. 26. τουτέστιν Ταύρου μοιρ. α'.

« Τοσαῦτα μέν, ὡς ἐν συντόμῳ ἐκ τῶν παρὰ τοῖς ἀρχαίοις εἰρημένων, ἐκτίθεται ὁ Ἀντίγονος περὶ τῆς εἰρημένης γενέσεως· ἑξῆς δὲ καὶ δευτέρας μνημονεύει οὕτως. « ἔστω τινὰ ἔχειν τὸν Ἥλιον ἐν Κριῷ » περὶ μοίρ(ας) ιθ' ἐν ὁρίοις Ἑρμοῦ, Σελήνην ἐν Διδύμοις μοίρᾳ ιε' <ἐν> » ὁρίοις Ἀφροδίτης, Κρόνον ἐν Ζυγῷ περὶ μοίρας κ' ὁρίοις Διὸς ἀκρό- » νυχον, Ζεὺς ἐν Ὑδροχόῳ μοίρας ς' ὁρίοις Ἑρμοῦ ἀπ' ἀνατολῆς ἑῴας, » Ἄρης δὲ ἐν Κριῷ περὶ μοίρας ιε' ὁρίοις Ἑρμοῦ, Ἀφροδίτη ὁμοίως ἐν » Κριῷ περὶ μοίρας ε' ὁρίοις Διός· Ἑρμῆς δὲ [f. 134r] ἐν Κριῷ περὶ » μοίρας ς', τῶν γ' Ἑρμοῦ, Ἀφροδίτης, Διὸς ἔτι πρὸς δύσιν ὄντων. καὶ » ὁ μὲν ὡροσκόπος Καρκίνῳ μοίρᾳ κδ', τὸ δὲ δῦνον ὡσαύτως Αἰγόκερῳ » μοίρᾳ κδ'. καὶ τὸ μὲν ὑπέργειον μεσουράνημα Κριῷ μοίρᾳ ι', τὸ δὲ » ὑπόγειον Ζυγῷ ι', καὶ οἰκοδεσποτήσει μὲν ἐνταῦθα τῆς γενέσεως, ὥς » φησιν, ὁ Ἄρης· μετὰ δὲ τρίτην ἡμέραν τῆς γενήσεως ἡ Σελήνη ἐν » Καρκίνῳ ἔσται· μετὰ δὲ ζ' ἐν Παρθένῳ, μετὰ δὲ τὴν μὴν ἐν Σκορπίῳ.

« Ὁ οὖν οὕτως ἔχων τοὺς ἀστέρας ἔσται περιφανὴς ἐκ περιφανῶν ἐξουσιαστικὸς καὶ πολλοὺς κολάζων, καὶ πολυχρήματος μὲν διὰ τὸ ἐν τῷ τριγώνῳ τοῦ Κρόνου τήν τε Σελήνην εἶναι καὶ τὸν Δία, τὴν μὲν Σελήνην ἐν Διδύμοις, τὸν δὲ Δία ἐν Ὑδροχόῳ, ἄδικος δὲ μὴ κατηγορούμενος διὰ τὴν τοῦ Ἄρεως καὶ Ἑρμοῦ στάσιν ἐπὶ τοῦ μεσουρανήματος, ἀμφοτέρων ὄντων ὑπαύγων, περιφανὴς δὲ διὰ τὸ τοὺς δ' ἀστέρας ἐν τῷ μεσουρανίῳ τυγχάνειν. καὶ τὴν προγεγονυῖαν δὲ σύνοδον ἐν τῷ αὐτῷ γεγενῆσθαι ζῳδίῳ· οὐ γὰρ μικρὰ δύναται ἡ προγεγονυῖα σύνοδος ὁπόταν ἐπίκεντρος τύχῃ, καὶ μάλιστα κατὰ τὸ ὡροσκοποῦν ἢ τὸ μεσουράνημα· πρὸς δὲ τὰς θελείας μίξεις ἀνεπίστροφος τυγχάνει. καὶ ῥυπαρὸς πρὸς τὰς ἀρρενικάς, μάλιστα μὲν διὰ τὸ τὸν Δία μετὰ Ἀφροδίτης καὶ Ἑρμοῦ τὴν στάσιν ἔχειν ἐν Κριῷ ἀσελγεῖ ὄντι· καὶ

15 προφανὴς ἐκ προφανῶν. 18 ἀδικῶς, melius. 20 προφανὴς. 21 μεσουρανήματι. 22 δύναται] δύναμις.

[1] Hoc loco margo codicis nostri scholion hoc exhibet manu prima aliquatenus mutilum : <ὅ>τι ἀπὸ τοῦ ἀφέτου <πρ>ὸς τῆς εἰς τὰ προ<ηγ?>ούμενα τετραγώνου πλευρᾶς <ἐ>λάμβανον οἱ παλαιοὶ καὶ οὗτος ὁ Ἀντίγονος τοὺς χρόνους τῆς ζωῆς οὐχ ὡς ὁ Πτολεμαῖος <πα>ρέδωκεν.

ὁρᾶσθαι τετραγωνικῶς τὴν Ἀφροδίτην ὑπὸ τοῦ Κρόνου· καὶ προσέτι τῷ πάντας αὐτοὺς τοὺς ἀστέρας ἐν ἀρρενικοῖς ζῳδίοις εἶναι. ὁ δὲ Ἥλιος ἐπὶ τοῦ ἰδίου ὑψώματος ὢν καὶ ἐπὶ τοῦ μεσουρανίου καὶ δορυφορούμενος παρά τε τῶν προανηνεγμένων αὐτοῦ ἀστέρων ἐν τε τῷ αὐτῷ ζῳδίῳ καὶ τοῦ Διὸς ἐν Ὑδροχόῳ ὄντος· ἀεὶ γὰρ μέχρι καὶ τετραγώνου στάσεως οἱ προανηνεγμένοι τοῦ Ἡλίου ἀστέρες δορυφοροῦσι τὸν Ἥλιον λαμπρὸν καὶ ἔνδοξον τὸ θέμα ἀποτέλεσεν. ὁμοίως καὶ ἡ Σελήνη αὐξιφωτοῦσα ἐν τριγωνῷ σχήματι πρός τε Κρόνον καὶ Δία εὐδαίμονα καὶ πολυχρήματον ἀπειργάσατο καὶ τῇ πατρίδι πολλὰ ἀναθήματα καὶ δωρεὰς παρέχοντα.

« Μὴ λανθανέτω δέ σε μηδὲ τοῦτο ὡς τῶν ἀστέρων ὄντων πάντων ἢ τῶν πλείστων ἐν ἰδίοις ζῳδίοις ἢ τόποις συμβαίνει γίνεσθαι ἀξιωματικοὺς ἄνδρας καὶ ἐπισήμους. οἱ ζωτικοὶ δὲ τούτου γνωρίζονται ἀπὸ τῆς τοῦ Ἡλίου ἀφέσεως ἕως τῆς τετραγωνικῆς αὐτοῦ στάσεως, διὰ τὸ εἶναι αὐτὸν ἐπίκεντρον καὶ τὴν προγεγενημένην σύνοδον ἐν τῷ αὐτῷ ζῳδίῳ γενέσθαι.

« Οὕτως μὲν οὖν χρὴ σκέπτεσθαι τὰς διδομένας γενέσεις· καὶ τρίτης ἄλλης γενέσεως μνημονεύει οὕτος [1], καί φησι περὶ τοῦ γενηθέντος ὅτι ἐπ' ὀλέθρῳ τῷ τε ἰδίῳ καὶ τῶν πατέρων ἐγένετο περὶ τὸ κε' ἔτος, οὗ τὸ ἐπὶ τῆς γενέσεως θέμα τοιοῦτον ἦν· ὁ Ἥλιος καὶ ὁ ὡροσκόπος ἦν ἐν Κριῷ, Σελήνη ἐν Σκορπίῳ μετὰ ἡμέρας γ' ἐπὶ ἑσπερίας ἀνατολῆς τὴν φάσιν ποιουμένη, Ἑρμῆς καὶ Κρόνος ἐν Κριῷ ἐπὶ ἑῴας δύσεως· ὁ Ζεὺς ἐν Ἰχθύσιν ἐπὶ ἑῴας ἀνατολῆς· ὁ κλῆρος δὲ τῆς τύχης εἰς τὸν Σκορπίον ἔπιπτεν· οἰκοδεσποτήσει ἐνταῦθα, φησίν, ὁ τοῦ Ἄρεως ἀστὴρ τῆς τοιαύτης γενέσεως· ἡ Σελήνη δ' ἔσται κατὰ τὴν ζ' ἐν ....., κατὰ τὴν μὴν ἐν Ζυγῷ. ὁ τοιοῦτος ἐκ μεγίστου γένους καὶ περιφανοῦς, λέγω δὴ πατρὸς καὶ μητρός, ἐνδοξοτάτων μέν, βιαίως δὲ θανόντων· ἐν ἐλπίσι γὰρ μεγάλαις γεννηθεὶς οὗτος καὶ δοκῶν ἤδη ἐπὶ βασιλείαν ἐλθεῖν, κακόβουλος γενόμενος περὶ τὸ κε' ἔτος ἐσφάλη καὶ ἐν κατηγορίᾳ πρὸς τὸν βασιλέα γενόμενος ἀνῃρέθη μετά τινος πρεσβύτου τῶν τοῦ γένους αὐτοῦ ἐν διαβολῇ γενομένου [f. 134v] καὶ αὐτοῦ δι' αὐτόν· πρὸς δ' ἔτι τῶν ἀπὸ τοῦ γένους αὐτοῦ πάντων, δι' αὐτῶν ταπεινῶς ἀπηλλαγμένων διὰ τὸ τὸν Ἥλιον ἐν τῷ ὡροσκόπῳ εἶναι καὶ δορυφο-

2 δὲ] γὰρ. 3 μεσουρανήματος. 8 αὐξιφωτοῦσα] πλήθουσα. 9-10 ἀναθύματα. 12 γίνεσται] ποιεῖν. 13 τούτου χρόνου. 15 αὐτοῦ. 18 καὶ φησὶ cod. 25 ἐν Λέοντι. 26 προφανοῦς.

[1] Cum constet genituram primam imperatoris Hadriani esse (supra, p. 82) credam hic de Pedanio Fusco agi qui una cum Urso Serviano avunculo nonagenario sene anno 136 ab Hadriano interfectus est quod imperium speraret (Spart. *Vit. Hadr.*, 23,2,8; cf. 15,8; 25,8). Attamen si excerptis Dioneis fides habenda (69, 17,1), Fuscus, cum periit, annos duodeviginti tantum non viginti quinque natus erat. [F. C.]

ρεῖσθαι ὑπό τε τοῦ Ἑρμοῦ καὶ τοῦ Διός· εἴρηται γὰρ περὶ τούτου. τὸ δὲ κακόβουλον γεγενῆσθαι διὰ τὸ τὸν τοῦ Ἑρμοῦ καὶ τοῦ Κρόνου ἐν ἀρρενικῷ ζῳδίῳ τετυχηκέναι καί τινα τῶν τοῦ γένους ἀπολέσαι διὰ τὸ αὐτὸ σχῆμα, τὸ δὲ αὐτὸν κατακοπῆναι διὰ τὸ τὴν Σελήνην εἶναι ἐν Σκορπίῳ μελεοκοπουμένῳ ζῳδίῳ, καὶ ἀκτινοβολεῖν τὸν Ἄρεα ἐπὶ τῆς ἐπαναφορᾶς τοῦ μεσουρανίου ὄντα· τὸ δὲ καὶ ἐξ ἀνθρώπου εἶναι τὴν βλάβην διὰ τὸ τὸν Ἄρεα εἶναι ἐν ἀνθρωποειδεῖ ζῳδίῳ· ἐρωτικὸς δὲ ὁ τοιοῦτος ἐγένετο καὶ φιλομόναχος, ἐρωτικὸς μὲν διὰ τὴν Ἀφροδίτην καὶ τὸν Δία, φιλομόναχος δὲ διὰ τὸν Ἄρεα ὄντα ἐπὶ τῆς ἐπαναφορᾶς τοῦ μεσουρανήματος, καὶ τὸν Ἑρμῆν εἶναι ἐν τῷ οἴκῳ τοῦ Ἄρεως· τὸ δὲ περὶ κεον ἔτος τεθνάναι, κακῶς διὰ τὸ τὰς ἀναφορὰς τοῦτο καὶ τοῦ Ὑδροχόου τὰς αὐτὰς εἶναι.

« Ἐφεξῆς δὲ καὶ ἑτέρων γενέσεων μνημονεύσας τοιούτῳ τρόπῳ σκέπτεται, ἐν αἷς φησιν ὅτι μονογενῶς ἡ Ἀφροδίτη ἀεὶ ἀποκεκλικυῖα τοῦ κατὰ κορυφὴν τόπου <ἐπὶ τῶν ἀνδρῶν ἀκαταστασίαν ἐν τοῖς κατὰ γυναικῶν ποιεῖ· ὁ δὲ τοῦ Ἄρεως ὁμοίως μονογενῶς· καὶ αὐτὸς ἀποκεκλικὼς τοῦ κατὰ κορυφὴν τόπου> ἐπὶ τῶν γυναικῶν ἀκαταστασίαν ἐν τοῖς κατ' ἄνδρα ποιεῖ. φησὶ δὲ καὶ ὅτι πάντοτε ἡ Σελήνη ἢ καί τις τῶν ἀπλανῶν τυχόν τι ἐπί τινος κέντρου προσθετικοὶ τῷ τε μήκει καὶ τῷ πλάτει ὄντες μετά τινος τῶν λαμπρῶν ἀπλανῶν, οἷον τοῦ ἐπὶ τῆς καρδίας τοῦ Λέοντος ὅν φασι Βασιλίσκον περὶ μοῖραν ε' ποιοῦσι τὰς τύχας μείζονας καὶ ἐνδοξοτάτας. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῆς τοῦ Ὑδροχόου κ' μοῖραν ποιοῦσι, καὶ ἐπὶ τῆς ιε' μοίρας τοῦ Ταύρου παραβάλλουσα ἡ Σελήνη τῷ πλάτει πλουσίους οἰκονομικοὺς ποιεῖ καὶ μεγιστᾶνας· καὶ ἐπὶ τῆς κζ' δ' ὁμοίως μοίρας τυχοῦσα ποιεῖ λαμπροὺς ἄρχοντας, χρηματικοὺς δὲ καὶ εὐσεβεῖς· τῷ δὲ λαμπρῷ ἀστέρι προβάλλουσα τῷ ἐπὶ τῆς λ' μοίρας ποιεῖ ἄρχοντας ἢ ναυάρχους λαμπρούς.

« Τὸ δὲ ὅμοιον γίνεται καὶ ἐπὶ τῆς ζ' μοίρας· τοῦ Σκορπίου ἢ φίλους βασιλέων ἢ διαδόχους ὠμοὺς καὶ παραβόλους καὶ ἀποδημητικούς. οὕτως οὖν, φησί, καὶ ἐπὶ τῶν ἄλλων ἀπλανῶν ἀστέρων καταστοχαστέον. πάλιν δὲ λέγει ὅτι οἱ ἔχοντες τὴν Σελήνην ἀγαθοῖς συνάπτουσαν, τὴν δὲ ἀπόρροιαν ἀπὸ λαμπρῶν ἀστέρων ποιουμένην, οὗτοι ὑποτάσσονται τοῖς ἔχουσιν τὴν Σελήνην παραβεβληκυῖαν λαμπρῷ τινι τῶν κατά τι ζῴδιον ἀστέρων. οὐ μέντοι παντάπασιν ὄντες ἄδοξοι· εἰσὶ γάρ, φησί, καί τινες ἐξυπηρετούμεναι λαμπραὶ μοῖραι, καθὼς ὁ βασιλεὺς Νεχεψὼ ἐν τῇ καθολικῇ λέγει. ἐπὶ δὲ τῶν ἀδόξων γενέσεων εὑρήσεις τὴν Σελήνην ἀφαιροῦσαν τῷ τε μήκει καὶ τῷ φωτί, καὶ πρὸς κακοποιοὺς φερομένην· οὕτω γὰρ ποιεῖ τοῖς τε σώμασιν ἀσθενεῖς καὶ ταῖς τύχαις

3 ἀρρενικῷ ζῳδίῳ] Ἄρεος οἴκῳ. 5 Leg. μελοκοπουμένου. 6 μεσουρανήματος. 8 et 9 Leg. φιλόμαχος? [F. C.] 11 τοῦτο καὶ] τοῦ τε Ταύρου καὶ, mel. 15-17 Codicis lacunam per P supplere licuit. 18-19 ἀπλανῶν] πλανωμένων. F. l. πλανητῶν. 29 παραβούλους, mel. 32 τὴν δὲ om. 38. τύχαις] ψυχαῖς, melius.

προσκοπτικά· καὶ ἐκ τῶν Σαλμεσχινιακῶν δὲ βιβλίων ἀναλεξάμενος ὡς ἔστιν ἐκεῖ, οὕτως λέγει. σκοπητέον δὲ καὶ τοὺς δεκανούς, ἐπειδήπερ ὁ μὲν πρῶτος ὡροσκοπῶν χρηματίζει περὶ τοκετοῦ· ὁ δὲ ἀπὸ τούτου δεκανὸς κηος, ὃς μεσουρανεῖ πρωί, χρηματίζει περὶ βίου· ὁ δὲ κεος, ὃς μεσουρανεῖ μεσημβρίαν χρηματίζει περὶ ἀρρωστίας· ὁ δὲ θος, ὃς ἀνατέλλει ἐν τῷ [f. 135r] ἀπηλιώτῃ ὀψέ, χρηματίζει περὶ σίνους· ὁ δὲ ιζ', ὃς ἀνατέλλει λιβί, γίνεται ὑπόγειον μεσουράνημα καὶ χρηματίζει περὶ γάμου καὶ γυναικῶν. ὁ δὲ ηος, ὃς καὶ Ἅιδου θύρα λέγεται, χρηματίζει περὶ τέκνων. ὁ δὲ ἐν τῷ ὑπὸ γῆν χρηματίζει περὶ θανάτου.

« Οὗτοί εἰσιν οἱ τόποι οἷς χρῶνται ἐπὶ πάσης γενέσεως οἱ παλαιοὶ Αἰγύπτιοι. τοσαῦτα μὲν οὖν ἐκκείσθω περὶ τύχης καὶ βίου καὶ προκοπῆς. ἑτέρου δὲ σκέμματος κατὰ τὸ ἑξῆς ὁμοίως ἀρξώμεθα. »

[F. 135r.] Hephaest., II, 19. Περὶ πράξεως <ποιότητος>.

Πρῶτον μὲν ἐκτίθησιν, ὡς ἔθος ἔχει ποιεῖν, τὴν τοῦ Πτολεμαίου λέξιν περὶ τῆς ἐκλογῆς τοῦ κυρίου τῆς πράξεως. εἶτά φησιν ὡς ἄλλοι δὲ τῶν μὲν κέντρων προτάττουσι τὸ μεσουράνημα, βον τὸ ὑπόγειον, γον τὸν ὡροσκόπον, δον τὸν κλῆρον τῆς τύχης. τὸ γὰρ δῦνον παντελῶς παρορῶσι. « καὶ ὅταν, φησί, τοὺς τόπους τούτους πάντας ἐρήμους εὕρωσιν ἀπό τινος τῶν γ' ἀστέρων Ἄρεως, Ἀφροδίτης, Ἑρμοῦ, τότε σκέπτονται τίς τὴν συναφὴν τῆς Σελήνης ἔσχεν ἐν τῇ γενέσει. εἰ δὲ καὶ ταύτην ἔρημον εὕρωσι, σκοποῦσι τίς πρὸς τὸν Ἥλιον ἔσχε συναφήν.

« Ἐγὼ δὲ βέλτιον ἡγοῦμαι μὴ δεῖν τὸν συνάπτοντα τῷ Ἡλίῳ λαμβάνειν· ὕπαυγος γὰρ γίνεται, ἀλλὰ μᾶλλον τὴν φάσιν ἑῴαν ἔγγιστα ἀπὸ τῆς πρὸς αὐτὸν συναφῆς πεποιημένων, ὡς αὐτός φησιν ὁ Πτολεμαῖος.

« Ἐὰν δὲ καὶ οὕτως μὴ εὕρωσι, τότε τὸ ϛον ζῴδιον ἀπὸ ὡροσκόπου λαμβάνουσι τελευταῖον πάντων ὡς ἀριστερὸν τοῦ μεσουρανίου τρίγωνον. χρὴ οὖν σκοπεῖν τά τε πρῶτα ἐν τούτοις καὶ τὸν ἐνδύναμον τῶν γ' ἀστέρων πρὸς τὸ ποιὸν τῆς πράξεως, ἡνίκα ὁ τὴν κυρείαν τῆς πράξεως λαχὼν ἢ ἑῷος ἢ ἐν ἰδίῳ τριγώνῳ ἢ ὁρίοις ἢ, προστίθησι δὲ τοῖς ἀριθμοῖς, καὶ μᾶλλον ἐὰν τύχῃ οὗτος ἐν τῷ μεσουρανίῳ ὤν. ὁ τοιαύτης οὖν τυχών, φασί, γενέσεως παραδυναστεύσει βασιλεῖ ἢ τυράννῳ, καὶ δόξης παρ' αὐτοῦ καὶ φιλίας ἀπολαύσει καὶ δῶρα λήψεται ἀγλαά.

1 προσκοπτικούς. σαλμεσχοινιακῶν. De Salmeschoniacis cf. Boll, *Sphaera*, p. 376 sqq.; et *Neue Jahrb. f. das klass. Altertum*, XXI, 1908, p. 106; W. Kroll, *Philologus*, LVII, 125; Salmas., *De annis clim.*, p. 605. 5 ὁ δὲ ιθος. 10 τρόποι, mel. 11 τύχης] ψυχῆς. 13 Cf. Ptol., *Tetrab.*, IV, 3; Procl., *Paraphr.*, IV, 4. ποιότητος habet P. 16 προτάττει (scil. Dorotheus). 19 εὕρῃς. 20 σκέπτου. 21 σκόπει. 23 τὴν] τὸν cod. 26 εὕρῃς. ἀπὸ ὡροσκ.] κατὰ τῆς ὥρας. 29 Post ἀστέρων codicis textus ab Hephaestioneo differt usque ad capitis finem.

Ταῦτα προσθεὶς καὶ πάλιν τὴν τοῦ Πτολεμαίου λέξιν ἀναλαβών, εἶτα πρὸς τῷ τέλει προστίθησιν. « ἄλλοι δὲ τὰς ποιότητας τῶν πράξεων ἀπὸ τῆς συναφῆς τῆς Σελήνης λαμβάνουσιν. ᾧ γὰρ ἄν, φασι, συνάπτῃ ἀστέρι σωματικῶς ἢ κατὰ τρίγωνον μοιρικῶς ἀπὸ τούτων λαμβάνουσι. κἂν μὲν ὁ Αἰγόκερως ᾖ, ποιεῖ ἀνωμάλους τὴν πράξιν καὶ ξενιτείαν ἢ καὶ ἐν στρατείαις κατειλεγμένον εἴπερ ἡμερινή ἐστιν ἡ γένεσις. ἐὰν δὲ ὁ Ζεὺς ᾖ, πολυκτήμονας, γραμματεῖς, ἱεροφάντας, τελεστάς, σεμνούς, ἐν βασιλείοις αὐλαῖς διατρίβοντας, ἐν δὲ πολιτικοῖς ἔργοις ἐνδοκιμοῦντας. εἰ δὲ ᾖ Ἀφροδίτη, μουσικούς, χαρίεις, καὶ ὅσαπερ ἔργα τῆς Ἀφροδίτης ἐρρέθη ἐν τοῖς ἄνω. τὸν δὲ βίον καὶ τὴν κτῆσιν ἐλάσσονα ποιήσουσιν. εἰ δὲ ὁ Ἑρμῆς, συνετούς, πεπαιδευμένους, ἐμπόρους, ἀοιδοὺς καὶ τὰ τοιαῦτα.

[F. 135r.] Hephaest., II, 20. Περὶ δούλων.

Περὶ δὲ δούλων αὐτός φησι· « σκέπτου τὸν κλῆρον αὐτῶν. οὗτος δὲ λαμβάνεται ἀπὸ Ἑρμοῦ ἐπὶ Σελήνην καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου ἐπὶ ἡμερινῆς γενέσεως, ἐπὶ δὲ νυκτερινῆς ἀνάπαλιν. σκόπει οὖν τὸν τόπον εἰς ὃν ἐμπέσειεν ὁ κλῆρος καὶ τοὺς ἐσχηματισμένους πρὸς αὐτὸν ἀστέρας. ἀγαθῶν μὲν γὰρ ὁρώντων ἀγαθοὶ καὶ ἐπὶ καλῷ οἱ δοῦλοι ἔσονται, κακῶν δέ, τὸ ἐναντίον. ἄλλοι δὲ λαμβάνουσι τὰ περὶ δούλων ἀπὸ Ἑρμοῦ ἕως τοῦ κλήρου τῆς τύχης, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. »

[F. 135r.] Hephaest., II, 21. Περὶ τέκνων.

Μετὰ τὸ περὶ τέκνων τὴν τοῦ Πτολεμαίου λέξιν ἐκθεῖναι προστίθησιν λέγων. « ταῦτα μὲν ὁ Πτολεμαῖος ἐκ τῶν Πετοσίριδος εἰληφώς. ὁ δὲ Δωρόθεος περὶ τέκνων σκεπτόμενος λέγει· « δεῖ τοὺς » τριγωνοκράτορας τοῦ Διὸς σκοπεῖν πῶς κεῖνται ἐν τῇ γενέσει, εἴτ' ἐν » συμπαθέσι τόποις, εἴτ' ἐν ἐναντίοις, ἢ ὃς μέν ἐστιν, ὃς δὲ οὔ, καὶ πρὸς » αὐτοὺς ἀποτελεῖν τήν τε πρώτην [f. 135v] καὶ δευτέραν τάξιν ὁμοίως » αὐτοῖς διασημαίνειν, σκοπεῖν δὲ καὶ εἰ ὁ κλῆρος τῆς τύχης ἐν καλοῖς » τόποις εἴη καὶ μὴ ἐν ἀσπόροις, ἐπειδήπερ ἐὰν εὑρεθῇ ἐν τῷ ς' ἢ τῷ » β', ἢ ἄγονος, φησίν, ἔσται, ἢ κλαύσει τὰ τικτόμενα. ἐὰν δὲ ὁ κλῆρος » καὶ τὸ διάμετρον αὐτοῦ ὁμοίως καὶ τετράπλευρα χηρεύει ἄστρων καὶ » μάλιστα ἀγαθῶν. εἰ δὲ τὰ ζῴδια τὰ παρέχοντα τὰ τέκνα, καὶ οἱ ἐπόν» τες ἀστέρες θηλυκῆς εἶεν φύσεως, θηλυκὰ ἔσται τὰ τικτόμενα. εἰ δὲ » ἀρρενικὰ ἢ μεμιγμένα, ὁμοίως ἀρρενικὰ ἢ μεμιγμένα. »

6 Leg. κατειλεγμένους. 13 Cf. Ptol., *Tetrab.*, IV, 6 continuatum; Procl., *Paraphr.*, IV, 7 contin. 14 λούλων (nonne indicium archetypi uncialibus litteris exarati?). 18 ἀγαθοὶ] ἀγαθῶ. 20 Post ὡροσκόπου] ἐξέβαλον add. 21 Cf. Ptol., IV, 5; Procl., *Paraphr.*, IV, 6. 26 συμπαθέσι] καλοῖς. 27 τάξιν] πράξιν (*sic*). 28 τῆς τύχης om. 29-30 ἢ τῷ ιβ'. 31 διάμετρον αὐτοῦ] δῦνον αὐτοις. χορεύσει.

[F. 135v.] Hephaest., II, 22. Περὶ φίλων καὶ ἐχθρῶν.

Ἐν τῷ περὶ φίλων καὶ ἐχθρῶν προστίθησιν ὁ Ἡφαιστίων· « ἰδίως δὲ ὁ περὶ δούλων λόγος καὶ τῆς τῶν οἰκοδεσποτῶν πρὸς αὐτοὺς συμπαθείας ἀπὸ τοῦ κακοδαιμονοῦντος ζῳδίου λαμβάνεται. καὶ τῆς τῶν ἐπιθεωρούντων ἀστέρων τὸν τόπον μαρτυρίας κατά τε τὴν γένεσιν αὐτὴν καὶ κατὰ τὰς ἐπεμβάσεις ἢ διαμέτρους φυσικῆς ἐπιτηδειότητος, καὶ μάλιστα ὅταν οἱ τοῦ δωδεκατημορίου κυριεύσαντες ἤτοι συμφώνως τοῖς κυρίοις τῆς γενέσεως τόποις ἢ ἐναντίως ποιῶνται τοὺς συσχηματισμούς. « ἄλλοι δέ, φασίν, ἐπιβλέπουσι τὸν κλῆρον τοῦ ἔρω» τος, δηλονότι πῶς κεῖται καὶ ὑπὸ ποίων ἀστέρων θεωρεῖται. καὶ πρὸς » αὐτὸν τὰ περὶ φιλίας σκοποῦσιν. ὅμως εἴπερ ἢ ἐν τοῖς ἀκούουσι » ζῳδίοις ἤτοι ἐν τοῖς βλέπουσι, συμπαθεῖς ἔσονται αἱ γενέσεις. ἀκούει » δὲ τὰ ἴσον ἀπέχοντα τῶν ἰσημερινῶν ἀλλήλων, οἷον Ταῦρος καὶ Ἰχθύες, » Δίδυμοι καὶ Ὑδροχόος, Καρκίνος καὶ Αἰγόκερως, Λέων καὶ Τοξό» της, Παρθένος καὶ Σκορπίος. καὶ τούτων τὰ μὲν βόρεια λέγονται » προστάσσειν τοῖς νοτίοις, τὰ δὲ νότια ὑπακούειν τοῖς βορείοις. βλέ» ποντα δὲ ζῴδια τὰ ἴσον ἀπέχοντα τῶν τροπικῶν ζῳδίων, ἃ καὶ ἴσοις » χρόνοις ἀναφέρονται. μάλιστα δὲ ἐὰν ἐπὶ τῶν β' γενέσεων οἱ κλῆροι » τοῦ ἔρωτος ἐμπέσωσιν εἰς αὐτά, πλείων ἔσται ἡ ἰσχὺς καὶ ἐλάττων, » πλείων μὲν ἐν τοῖς ἀπὸ Κριοῦ μέχρι Παρθένου καὶ αὐτῆς, ἐλάττων δὲ » ἐν τοῖς ἀπὸ Διδύμων μέχρι καὶ Ἰχθύων. οὐ μόνον δὲ χρὴ ἐπὶ τῶν » φίλων τὰ περὶ φιλίας σκοπεῖν ἐν τοῖς προστεθειμένοις σχήμασιν, ἀλλὰ » καὶ ἐπὶ γυναικὸς καὶ ἀνδρὸς καὶ πατρὸς καὶ μητέρος καὶ τέκνων. »

[F. 135v.] Hephaest., II, 23. Περὶ ξενιτείας.

Πρὸς τῷ τέλει τοῦ περὶ ξενιτείας λόγου, « πάλιν δέ, φησί, τὰ ἐπὶ τούτοις σαφηνείας χάριν προσγράφομεν <καὶ> τὴν τριταίαν ἡμέραν τῆς γενέσεως σκεπτέον εἰ ὁ Ἄρης τότε συνίσταται τῇ Σελήνῃ ἢ τετραγωνίζει ἢ διαμετρεῖ, ἢ ἐν αὐτῇ ἡ Σελήνη ἐν οἴκῳ γίνεται Ἄρεως. σκόπει δὲ καὶ τοὺς τριγωνοκράτορας τοῦ τῆς αἱρέσεως φωτός. εἰ μὲν γὰρ ἐν οἰκείοις τόποις, οὐ ποιοῦσι ξενιτείας. εἰ δὲ ἐν ἀλλοτρίοις, ποιοῦσιν. »

[F. 135v.] Hephaest., II, 24. Περὶ θανάτου ποιότητος.

Πρόσκειται καὶ τούτῳ τῷ κεφαλαίῳ περὶ τὸ τέλος. « ἄλλοι δὲ σκοποῦσι περὶ θανάτου ποιότητος [f. 136r] ἐκ τοῦ κατὰ τὸν ηον τόπον

1 Ptol., IV, 6 initio; Procl., IV, 7 initio. 3 δεσποτῶν mel. 4 ἀπὸ] ἐκ. 5 μαρτυρίας om. 9 σχηματισμούς. Deinde codicis lacunam ita supplet P : ἐγκείσθω δὲ πάλιν καὶ τὸ περὶ (l. παρὰ) Δωροθέῳ σφόδρα καὶ καλῶς εἰρημένα. φησίν mel. 13 οἷον ♉ου cod. οἷον Ταῦρος καὶ Ἰχθύες, Δίδυμοι καὶ Ὑδροχόος, καὶ ἑφεξῆς τὰ ἄλλα ζῶα. Κριὸς δὲ καὶ Ζυγόν, φησὶν ἀκολουθῶν Θρασύλλῳ, οὐκ ἀκούει ἀλλήλων et alia, quae paulo differunt a codice nostro. 24 Cf. Ptol., *Tetrab.*, IV, 7; Procl., *Paraphr.*, IV, 8. 26 καὶ addo ex Heph. 31 Titulus deest in cod.

ζῳδίου τὸ εἶδος καὶ τὴν φύσιν αὐτοῦ ὁρῶντες τὸν τούτου δεσπότην, ἔτι δὲ καὶ τοὺς συσχηματιζομένους ἀστέρας, καὶ ἐκ τούτων ἀποφαίνονται καὶ τὰ εἴδη τοῦ θανάτου ὁμοίως ταῖς προκατειλεγμέναις φύσεσιν ἄστρων τε καὶ ζῳδίων. »

[F. 136r.] Hephaest., II, 25. Περὶ χρόνων διαιρέσεως.

Μετὰ τὴν συμπλήρωσιν τοῦ παρόντος κεφαλαίου φησὶν ὁ Ἡφαιστίων. « ταῦτα μὲν ὁ Πτολεμαῖος φυσικῶς καὶ καθολικῶς σκεπτόμενος ἐκτίθεται περὶ τῆς τῶν καιρῶν ἐπισκέψεως. τῶν δὲ κατὰ μέρος ἐπιβολῶν τῆς ποιότητος τοῦ ἀποτελέσματος ἑκάστου, ἀφῆκεν ἡμῖν καταστοχάζεσθαι ἐκ τῶν καθολικῶν. ἐφεξῆς δὲ τούτοις πάλιν παρατιθέμεθα καὶ τὰ παρὰ τοῖς ἄλλοις καὶ ἃ ἡμεῖς τετηρηκότες τῇ πείρᾳ εὕρομεν ἀληθῆ. ὁ γὰρ Δωρόθεος διαιρῶν τοὺς χρόνους κέχρηται αψ ἀφέτῃ, εἰ μὲν εἴη ἡμερινὴ ἡ γένεσις, καὶ ὁ Ἥλιος ἐπὶ τοῦ ὡροσκόπου, ἢ ἐν τῷ μεσουρανήματι, ἢ ἐν τῷ ιατψ τῷ κυρίῳ τῶν ὁρίων τοῦ ἐν τῷ τόπῳ ζῳδίου. οὐχ ἁπλῶς δὲ κέχρηται, ἀλλὰ χρή, φησίν, αὐτὸν ὁρᾶν τὰ ἴδια ὅρια. εἰ δὲ μὴ εἴη οὗτος, ἕτερος δέ τις ἀστὴρ ὁ τὸν Ἥλιον ἔχων τὸν ἑαυτοῦ οἶκον ἐπέχοντα, οὗτος λαμβάνεται. εἰ δὲ καὶ οὗτος ἀπόστροφος εἴη τοῦ Ἡλίου, ἄλλος δέ τις ὁρᾷ τοῦτον ἐπέχοντα τὸ ἴδιον ὕψωμα, οὗτος λαμβάνεται. εἰ δὲ καὶ οὗτος ἀπόστροφος εἴη τοῦ Ἡλίου, ἄλλος δέ τις ἴδοι αὐτὸν ἐπέχοντα τὸ οἰκεῖον τρίγωνον, οὗτος λαμβάνεται. ταῦτα μὲν ἐπὶ ἡμερινῆς γενέσεως ἐὰν ᾖ ὁ Ἥλιος ἐν ἐπικαίροις τόποις καὶ ὁρᾶται παρὰ τοῦ κυρίου τῶν ὁρίων τοῦ τόπου ἢ τοῦ οἴκου ἢ τοῦ ὑψ ώματος ἢ τοῦ τριγώνου. εἰ δὲ μὴ αὐτὸς εἴη, τύχοι δὲ ἡ Σελήνη, τὸν κύριον αὐτῆς προκρίνομεν τῷ αὐτῷ τρόπῳ. εἰ δὲ μηδὲ αὕτη, τὸν κύριον τοῦ κλήρου τῆς τύχης. εἰ δὲ πάλιν καὶ ὁ κλῆρος μὴ εὑρεθείη, εἰ μὲν εἴη ἡ προγενομένη συζυγία συνοδική, ἢ καὶ ἐν ἐπικαίρῳ τόπῳ, τὸν κύριον αὐτῆς. εἰ δὲ τούτων ὁ κύριος μὴ εὑρεθείη, τελευταῖον πάντων τὸν τοῦ ὡροσκόπου

5 Cf. Ptol., IV, 8; Procl., IV, 9. 6-7 Ἡφαιστίως cod. 12 γὰρ] δὲ f. mel. 14-15 τοῦ ἐν τῷ τόπῳ ζῳδίου om., sed αὐτῶν ante κέχρηται. 16 εἰ δὲ μὴ οὕτως. 16-17 ἀστὴρ ὁρᾷ τὸν Ἥλιον ἐπέχοντα τὸν ἴδιον οἶκον. 17-19 εἰ δὲ καὶ - λαμβάνεται om. 20 Post ἐπέχοντα] καὶ οὗτος λαμβάνεται ὁ ὁρῶν τὸν Ἥλιον ἐπέχοντα om. cod. οὗτος λαμβάνεται om. [1]. 22 τοῦ κυρίου et τοῦ τόπου om. 26 Post αὐτῆς] εἰ δὲ πανσεληνιακὴ ὁμοίως τὸν κύριον αὐτῆς.

[1] Locum versibus 14-20 contentum, alterius lacunis codicis ab altero suppletis, ita legendum esse puto : ... ἢ ἐν τῷ ιατῳ τῷ κυρίῳ τῶν ὁρίων τοῦ ἐν τῷ τόπῳ ζῳδίου, αὐτῷ οὐχ ἁπλῶς κέχρηται - ὅρια. εἰ δὲ μὴ εἴη οὗτος, ἕτερος δέ τις ἀστὴρ ὁ τὸν Ἥλιον ἔχων τὸν ἑαυτοῦ οἶκον ἐπέχοντα, οὗτος λαμβάνεται. εἰ δὲ καὶ οὗτος ἀπόστροφος εἴη τοῦ Ἡλίου, ἄλλος δέ τις ὁρᾷ τοῦτον ἐπέχοντα τὸ ἴδιον ὕψωμα, οὗτος λαμβάνεται. εἰ δὲ καὶ οὗτος ἀπόστροφος εἴη τοῦ Ἡλίου, ἄλλος δέ τις ἴδοι (ἴδῃ P) αὐτὸν ἐπέχοντα, καὶ οὗτος λαμβάνεται ὁ ὁρῶν τὸν Ἥλιον ἐπέχοντα τὸ οἰκεῖον (ἴδιον P) τρίγωνον, οὗτος λαμβάνεται.

λαμβάνομεν τῷ αὐτῷ τρόπῳ. ἐπὶ δὲ νυκτερινῆς γενέσεως τὴν Σελήνην προκρίνομεν ἐν ἐπικαίρῳ οὖσαν τόπῳ. ἐὰν δὲ μὴ εὑρίσκηται αὕτη, τύχῃ δὲ ὁ Ἥλιος ἐν ταῖς ὑπὸ γῆν μοίραις τοῦ ὡροσκόπου, τῷ κυρίῳ πάλιν αὐτοῦ χρησόμεθα. πρὸς τούτοις δὲ χρὴ σκοπεῖν καὶ αὐτοὺς τοὺς ἀφετικοὺς τόπους καὶ προκρίνειν τὸν ἀπηλλαγμένον καὶ ἐλεύθερον κακοποιοῦ στάσεως. δέδοται δέ, φησί, παρ' ἑκάστου τῶν ἀστέρων τῇ τάξει τῶν ἐφεξῆς ὁ χρόνος κατὰ τὰς ἀναφορὰς τοῦ οἰκείου κλίματος. »

[F. 136r.] Hephaest., II, 26. Περὶ ἐνιαυτοῦ.

« Ἀπὸ τοῦ ὡροσκόπου τὸ πλῆθος τῶν ἐτῶν ἔκβαλλε καὶ εἰς ὃ ἂν καταλήξῃ ζῴδιον σκόπει τὸν κύριον ἐκείνου εἰ ὁρᾷ αὐτόν, καὶ εἰ ἀνατολικός ἐστιν ἢ ἐν ὁρίοις ἢ οἴκῳ ἢ τριγώνῳ ἢ ὑψώματι ... καὶ εἴπερ εἴη ὑπὸ ἀγαθοποιῶν καλῶς ἐσχηματισμένος, ἀποφαίνου τὴν ἐνιαυτὸν κάλλιστον ἔσεσθαι. εἰ δὲ εὑρεθείη ἐν τοῖς ἐναντίοις τῶν προειρημένων, ἐναντία δηλονότι ὑπονοητέον. εἰ δὲ καὶ ἐν ἀλλοτρίῳ οἴκῳ τύχοι, χαλεπώτερος ἔσται. εἰ οὖν εἶεν οἱ κακοποιοὶ οὕτως ἔχοντες καὶ ἐν ἀλλοτρίῳ οἴκῳ, χαλεπώτατοί εἰσιν· ἢ γὰρ νόσον ἢ ἐκκρίσεως καταδίκην ἢ ξενιτείας διαφόρους ποιοῦσιν. εἰ δὲ οἱ ἀγαθοποιοὶ κουφοτέρους μετεωρισμοὺς ποιοῦσι, καὶ ἐπὶ μὲν Διὸς δαπάνας ἑκουσίᾳ γνώμῃ, ἐπὶ δὲ [f. 136v] Ἀφροδίτης γυναικείους τινὰς μώμους ἐπιφέρει. ἐπὶ δὲ Ἑρμοῦ ζημίας. καλῶς δὲ κείμενοι οἱ κακοποιοὶ ἐν τῇ γενέσει καλὰ ποιοῦσιν, ὁ μὲν Ἄρης πράξεις μετὰ θερμότητος, ὁ δὲ Κρόνος ὁμοίως ἐνεργείας πρὸς γεωπονίαν ἢ οἰκοδομάς. οἱ δὲ ἀγαθοποιοὶ βελτίονα παρέχουσιν, ὁ μὲν Ζεὺς εὐγαμίαν καὶ φιλίαν, ἔσθ' ὅτε καὶ τέκνωσιν, ἡ δὲ Ἀφροδίτη ὁμοίως τὰ αὐτὰ καὶ χάριν παρὰ θηλείας, ὁ δὲ Ἑρμῆς ἐκ λόγων κέρδη. »

[F. 136v.] Hephaest., II, 27. Περὶ μηνῶν.

« Καὶ περὶ τῶν μηνῶν δὲ καὶ ἡμερῶν ὡσαύτως σκέπτου τοὺς ἑπόντας ἢ καὶ ὁρῶντας τῶν ἀστέρων τὸ ζῴδιον εἰς ὃ ἐμπίπτει ὁ μὴν ἢ καὶ ἡ ἡμέρα, καὶ οὕτως στοχάζου. γιγνώσκεται δὲ τὸ ζῴδιον εἰς ὃ ἐμπίπτει ὁ μὴν τοῦ πλήθους τῶν μηνῶν ἐκβαλλομένου ἀπὸ τοῦ γενεθλιακοῦ μηνὸς <ἐν> ἑκάστῳ ζῳδίῳ ἑνὸς μηνὸς διδομένου ἀπὸ τοῦ τὸν ἐνιαυτὸν λαχόντος ζῳδίου. ἐπιτήρει δὲ καὶ καθ' ἕκαστον ἔτος τὰ τετράγωνα καὶ τὰ διάμετρα σχήματα τῶν κακοποιῶν πρὸς τὸ λάχον ζῴδιον τὸν ἐνιαυτόν. καὶ τὰς συνόδους δὲ καὶ πανσελήνους ὁμοίως εἰ πρὸς ἀγαθοποιοὺς ἐγένοντο ἢ ἐναντίους. »

3 Post ἐν ταῖς] παρὰ τὸν ὡροσκόπον ἐγγὺς. 7 τῶν ὁρίων ἐφεξῆς. Hic Hephaestionis verba CLX cod. praetermisit 19 ζημίας καὶ ἀσυνθήκας. 20 ἐν τῇ γενέσει] ἀντιγενέσει. 21 περὶ γεωπονίας. 22 23 σύστασιν καὶ εὐγαμίαν κ. φ. καὶ εὔκλειαν. 24 Verbum κέρδη sequitur in Heph. Dorothei versus 119 (Kroll, *Catal.*, VI, p. 102). 26 ἐπιόντας. 28 ὁ μὴν om. 29 ἀπὸ τοῦ πλήθους. 30 δεδομένου.

Περὶ ἡμέρας.

« Περὶ δὲ ἡμέρας ἔκβαλλε τὸ πλῆθος τῶν ἡμερῶν τῶν ἀπὸ τῆς γενεθλιακῆς ἡμέρας ἀπὸ τοῦ μηνιαίου ζῳδίου ἑκάστῳ ζῳδίῳ διδοὺς ἡμέρας β′ s″, καὶ εἰς ὃ ἂν λήξῃ ἐκεῖνο ἔξεις τῆς ἡμέρας ζῴδιον. »

[F. 136v.] Hephaest., II, 27*bis*. Διαίρεσις τῆς χρονοκρατορίας ἑκάστου τῶν ἀστέρων.

« Ἤδη δέ τινες τῶν ἀρχαίων Αἰγυπτίων συνθέντες τὰ ἔτη τῶν περιόδων τῶν ζ′ ἀστέρων συμποσουμένων ὁμοῦ εἰς ἔτη ι′ καὶ μῆνας θ′ ἀρξάμενοι ἀπὸ τοῦ πρώτου, τουτέστι τοῦ Κρόνου, ἐμέρισαν τοῖς ἐφεξῆς <ἀστράσι> κατὰ τὰ ἐφεξῆς ζῴδια ἑκάστῳ διδόντες τὴν ἰδίαν περιόδον. ἔτι δὲ καὶ ὑπομερισμὸν κατ' ἀναλογίαν ἑκάστης περιόδου εἰς βραχυτέρους χρόνους ποιησάμενοι ἀπὸ τοῦ πρώτου χρονοκράτορος τοῖς ἐφεξῆς ὁμοίως δεδώκασιν. οἷον ἔστω ὁ Κρόνος ὁ τοὺς καθολικοὺς χρόνους ἔχων, τουτέστι τὰ ι′ ἔτη καὶ μῆνας θ′, ἐκ τούτων μερίζει ἑαυτῷ μὲν μῆνας λ′· Διὶ δέ, ἐὰν ᾖ ἐφεξῆς, μῆνας ιβ′, καὶ Ἄρει πάλιν, εἰ ἐφεξῆς εἴη, μῆνας ιε′, καὶ τοῖς ἐφεξῆς ὁμοίως, Ἡλίῳ μὲν μῆνας ιθ′, Ἀφροδίτῃ η′, Ἑρμῇ κ′, Σελήνῃ δὲ κε′· καὶ αὕτη μὲν ἡ ἀκροτάτη καὶ πρώτη διαίρεσις. ἐν δὲ τῇ ὑποδιαιρέσει Κρόνος μὲν ἀφ' ὧν λαμβάνει μηνῶν λ′ κατ' ἀναλογίαν μερίζει ἑαυτῷ ἡμέρας σι′, Διὶ ἡμέρας πδ′, Ἄρει ἡμέρας ρε′, Ἡλίῳ ἡμέρας ρλγ′, Ἀφροδίτῃ ἡμέρας νς′, Ἑρμῇ ἡμέρας ρμ′, Σελήνῃ ἡμέρας ροε′. πάλιν ὁ Ζεὺς ἐκ τῶν ἑαυτοῦ μηνῶν ιβ′ ἐπιμερίζει ἑαυτῷ ἡμέρας λδ′, Κρόνῳ ἡμέρας πε′, Ἄρει ἡμέρας μβ′, Ἡλίῳ ἡμέρας μδ′, Ἀφροδίτῃ ἡμέρας κβ′, Ἑρμῇ ἡμέρας νζ′, Σελήνῃ ἡμέρας οα′. Ἄρης ἐκ τῶν ἑαυτοῦ μηνῶν ιε′ ἐπιμερίζει ἑαυτῷ ἡμέρας νβ′, Κρόνῳ ἡμέρας ρε′, Διὶ ἡμέρας μβ′, Ἡλίῳ ἡμέρας ξς′, Ἀφροδίτῃ ἡμέρας κη′, Ἑρμῇ ἡμέρας ο′, Σελήνῃ ἡμέρας πζ′. Ἥλιος ἐκ τῶν ἑαυτοῦ μηνῶν ιθ′ ἑαυτῷ ἐπιμερίζει ἡμέρας πγ′, Κρόνῳ ἡμέρας ρδ′, Διὶ νβ′, Ἄρει ἡμέρας ξδ′, Ἀφροδίτῃ λ′, Ἑρμῇ π′. Σελήνῃ ρια′. Ἀφροδίτη ἐκ τῶν ἑαυτῆς μηνῶν η′ ἑαυτῇ ἐπιμερίζει ἡμέρας ιε′, Κρόνῳ ἡμέρας νζ′, Διὶ ἡμέρας κβ′, Ἄρει ἡμέρας κη′, Ἡλίῳ λς′, Ἑρμῇ λη′, Σελήνῃ ἡμέρας ιζ′. Ἑρμῆς ἐκ τῶν ἑαυτοῦ μηνῶν κ′ ἑαυτῷ ἐπιμερίζει ἡμέρας ϛς′, Κρόνῳ ρμα′, Διὶ νς′, Ἄρει ο′, Ἡλίῳ ϛ′, Ἀφροδίτῃ λς′, Σελήνῃ ριζ′. Σελήνη ἐκ τῶν ἑαυτῆς μηνῶν κε′ ἑαυτῇ ἐπιμερίζει ἡμέρας ρμη′, Κρόνῳ ροζ′, Διὶ οα′, Ἄρει πζ′, Ἡλιῳ ριε′, Ἀφροδίτῃ μς′, Ἑρμῇ ριθ′.

« Ἵνα δ' εὐχερῶς καὶ διὰ μνήμης ἔχων ποιῆς τὴν ἀναλογίαν [f. 137r]

5 Titulus apud Hephaestionem : Διαίρεσις ι′ ἐτῶν καὶ μηνῶν θ′. 8 συμποσόω deest in lexicis, at ποσόω agnoscitur. 10 ἀστράσι addo ex Heph. 20 ρμ′] μ′ cod. Corr. ex Heph. 21 ροε′] ρε′ cod. Corr. ex Heph.. 22 μδ′] νδ′. 24 ιε′] ιγ′. 25 μδ′] νδ′ cod. et P. Corrigo, ceteris numeris dimidiatos dies quotiescumque licuit praebentibus. 27 ρδ′] Corr. ex λδ′ in cod.; ρλ′ in Heph. 28 λ′] λε′. π′] πζ′. 30 ιζ′] νζ′. 35 ποιήσει.

τοῦ ὑπομερισμοῦ, ἐπὶ μὲν Κρόνου τοὺς λ′ μῆνας ἀναλύσας εἰς ἡμέρας ϡ′ μέριζε εἰς τοὺς ρκθ′ μῆνας τῆς κοινῆς τῶν ἀστέρων περιόδου· γίνονται ἔγγιστα ζ′. ἑπτάκις οὖν ἑκάστου ἀστέρος ποίει τὴν περίοδον καὶ εὑρήσεις τὸν λεπτότερον ὑπομερισμόν· οἷον ἐπὶ τοῦ Κρόνου· ὅσον γὰρ μέρος εἰσὶν οἱ λ′ μῆνες τῶν ρκθ′ μηνῶν, τοσοῦτον μέρος γίνονται καὶ οἱ ζ′ μῆνες, <τουτέστιν> αἱ σι′ ἡμέραι τῶν λ′ μηνῶν, τουτέστι τῶν ϡ′ ἡμερῶν. ἐπὶ μὲν οὖν Κρόνου οὕτως· ἐπὶ δὲ Διὸς ἑπτάκις πάλιν τοὺς ιβ′ μῆνας αὐτοῦ ποιήσας εὑρήσεις ἡμέρας πδ′· καὶ ἐπὶ τῶν λοιπῶν ἀστέρων ὁμοίως. ἐφεξῆς δὲ ἐπὶ τοῦ λεπτοτέρου μερισμοῦ, ἐπεὶ ιβ′ μῆνές εἰσιν ἡ τοῦ Διὸς περίοδος, ἤτοι ἐνιαυτὸς εἷς, τουτέστιν ἡμέραι τξ′, ταῦτα μέρισον εἰς τὴν κοινὴν περίοδον τὰ ρκθ′, γίνονται β′ s″ γ′ ἔγγιστα. τούτοις πολλαπλασίασον τὰ ιβ′ τῆς περιόδου· γίνονται λδ′· καὶ ὁμοίως τὰ λ′ τῆς περιόδου τοῦ Κρόνου· γίνονται πε′· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. τοῖς δὲ ιβ′ μησὶν ἐφ' ἑκάστου ἐνιαυτοῦ συλλαμβάνουσι καὶ τὸν πενθήμερον.

« Ἰστέον τοίνυν ὅτι τότε εὑρίσκομεν συμφωνοῦντα μᾶλλον τὰ ἀποτελέσματα ἐπὶ τῶν χρονοκρατόρων ὅταν ἀπὸ τοῦ αἱρετικοῦ φωτὸς ἐπικέντρου ὄντος τὴν ἄφεσιν τῶν χρόνων μερίζωμεν. Ἀποκλίναντος γὰρ καὶ ἀσυνδέτου ὄντος τῷ ὡροσκόπῳ οὐχ ὁμοίως εὑρίσκομεν σύμφωνα τὰ ἀποτελέσματα. Ὅταν οὖν μὴ εὕρωμεν καλῶς κείμενον τὸ τῆς αἱρέσεως φῶς, ἄλλον δέ τινα τῶν ἀστέρων ἐπικέντρον καὶ δυναμικώτερον, ἐκείνῳ διδόναι τὴν κυρείαν ὀφείλομεν τῆς τῶν τοιούτων χρόνων ἀφέσεως. »

[F. 137r.] Hephaest., II, 28. Κρόνου χρονοκρατορία.

« Ὁ τοῦ Κρόνου λαμβάνων τοὺς καθολικοὺς χρόνους ἢ καὶ τοὺς μερικοὺς ἐπὶ μὲν ἡμερινῆς γενέσεως χωρὶς τῆς πρὸς Ἄρεα διαμετρήσεως ἢ τετραγώνου στάσεως καὶ ἐπὶ ἑῴας ἀνατολῆς οὐ κακὸς ἐγράφη, ἀλλ' ὠφέλιμος καὶ ἀπὸ παλαιῶν πραγμάτων ἢ μυστηρίων ἢ κληρονομιῶν ποιεῖ κέρδη ἀπό τε συγγενικῶν προσώπων καὶ μάλιστα πρεσβυτέρων ἔτι δὲ καὶ γεηπονεῖν παρασκευάζει, καὶ εἰς πάντα οἱ χρόνοι ἀγαθοὶ καὶ ἐπιτευκτικοὶ γίνονται. ἐπὶ δὲ νυκτερινῆς γενέσεως χαλεπὸς ἐν πᾶσι τοῖς ἐνεργουμένοις γίνεται· οὐ γὰρ διαλείπουσι τὸν χρόνον κίνδυνοι καὶ ἀπραγίαι καὶ σωματικαὶ ἀσθένειαι· ποιεῖ δὲ καὶ ἀποβολὰς καὶ ζημίας

1 ϡ′] λ′ P prave. 3 ἔγγιστα ζ′] 7 = 903 : 129. 4 Post ὑπομερισμὸν] add. P : ἐπὶ τῆς δεκαετηρίδος. 6 τουτέστιν add. P. 12 β′ s″ γ′] β′ γ′. Invenio 2° 47′ 26″. τούτοις λδ′] (2° = 120′) + 30′ + 20′ = 170 (170 × 12 = 2040) : 60 = 34. 13 πε′] (170 × 80 = 510) : 60 = 85. 17-18 ἐπικέντρου] ἐπὶ ♄ (*sic*). 19 συμφώνως P. 22 κυρείαν] πρότερειαν. 24 Cf. de planetarum χρονοκρατορίαις Hermes philosophus (idem atque Apomashar si vere putavi, *C. R. Acad. inscr.*, 1910, p. 132 sqq.) *de revolutionibus nativitatum*, ed. ab Hier. Wollio cum Exegete anonymo et Porphyrii *Introductione in* Ptolemaei *Tetrabiblum*, Basil. 1559. Cf. quoque Vettii Valentis *Anthol.*, ed. Kroll., IV, 20. 32 ἐνεργουμένοις] ἐγχειριζομένοις.

καὶ λύπας· καὶ ἐὰν μὲν ἐν ἡλιακῷ ζῳδίῳ τύχῃ ἐξ ὑπερεχόντων βιασθήσεται ζημίαις καὶ κινδύνοις· ποιεῖ δὲ καὶ ἀληδόνας νεύρων καὶ νόσους πολυχρονίους. ἐν δὲ σεληνιακῷ τυχὼν ζῳδίῳ ποιεῖ στομαχικοὺς κινδύνους καὶ ἀπραγίας. ἐὰν δὲ καὶ Σελήνη τύχῃ λήγουσα ἐπὶ νυκτερινῆς γενέσεως, ποιεῖ λύπας καὶ μερίμνας καὶ θλίψεις βιωτικὰς καὶ ἐξ ὑγρῶν ὀχλήσεις καὶ νόσους μητρὶ ἢ ἀδελφοῖς ἔχουσι, καὶ θηλυκῶν προσώπων κινδύνους· ἡμέρας δὲ καὶ Σελήνης αὐξιφωτούσης ἀγαθὸς καὶ πρακτικὸς ἐν πᾶσιν ἔσται ὁ χρόνος. ἐν δὲ ἰδίοις τόποις τυχὼν ἡμέρας ἀγαθὰ περὶ κτῆσιν σημαίνει, νυκτὸς δὲ κακῶν αἴτιος ἔσται, ἔν τε ζημίαις καὶ νόσοις στομαχικαῖς, καὶ ἔχθραις αἰφνιδίοις περιτρέπων.

« Ἐν δὲ Διὸς τόποις ἡμέρας ἐν πᾶσιν ἔσται [f. 137v] ἀγαθός· καὶ γὰρ κληρονομίαν καὶ δόξαν περιποιεῖ καὶ κέρδη καὶ προκοπὰς καὶ πράξεις, νυκτὸς δὲ ἐν τῇ ἀρχῇ ἀνωμαλήσει καὶ ἀπραγήσει, ὕστερον δὲ εὐπράξει καὶ ἐχθρῶν περιγενήσεται.

« Ἐν δὲ Ἄρεως τόποις ἐπὶ νυκτερινῆς γενέσεως ψύξιν πράξεως καὶ πραγμάτων ἐκκοπὰς καὶ ἐχθρῶν ἐπαναστάσεις καὶ θλίψεις βιωτικὰς καὶ ψυχοπονίας καὶ ἀπραγίας ἀποτελεῖ καὶ σωματικὰς ἀσθενείας.

« Ἐν δὲ τοῖς τῆς Ἀφροδίτης ψόγον οἴσει διὰ γυναῖκα καὶ βλαβήσεται, καὶ θορύβους παρέξει· τισὶ δὲ καὶ νόσους γυναιξὶν ἢ πένθος ἀπεργάζεται, καὶ ἐν πᾶσι λυπηρὸς καὶ ἀηδὴς ὁ χρόνος ἔσται.

« Ἐν δὲ τοῖς τοῦ Ἑρμοῦ συκοφαντίας ποιήσει καὶ πένθος συγγενῶν <καὶ> τέκνων φθορὰν καὶ κρίσεις καὶ φόβους καὶ διαβολάς· τισὶ δὲ ἐπιθρεπτῶν φθορὰν καὶ λύπας φέρει καὶ ἔχθρας καὶ δόλους καὶ ψευδοκατηγορίας καὶ μετάβασιν ἕνεκα ἐχθρῶν καὶ παλαιῶν πραγμάτων ἀνασκευάς.

« Τῷ δὲ τοῦ Διὸς ἐπιμερίζων μῆνας καὶ ἡμέρας ὁ Κρόνος ἐπὶ μὲν ἡμερινῆς γενέσεως ἀγαθὰ σημαίνει καὶ πράξεις ποιεῖ περίκτησίν τε καὶ κέρδη καὶ σώματος εὐρωστίαν, καὶ ἃ κληρονομοῦσι ἢ προκόπτουσι καὶ ἐν ταῖς πράξεσιν εὐημεροῦσι, καὶ φιλίας ἐπισήμους ἕξουσιν. ἐπὶ δὲ νυκτὸς οὐ καλὸς ἐγράφη· ἐναντιώματα γὰρ καὶ ἀπραγίας καὶ βιωτικὰς θλίψεις καὶ ψύξεις καὶ ταραχὰς καὶ οἰκειακὰς μέμψεις καὶ σωματικὰς ἀσθενείας ποιεῖ.

« Τῷ δὲ Ἄρει ἐπιμερίζων ἐπὶ μὲν ἡμερινῆς γενέσεως κακὸς καὶ βλαπτικὸς πέφυκεν· ἐπιφέρει γὰρ νόσους καὶ συνοχὰς καὶ ἀνασκευὰς πραγμάτων καὶ λύπας καὶ πένθη καὶ ἀποβολὰς πατρικὰς καὶ ἐναντιώσεις καὶ δυστευξίας πραγμάτων καὶ τὸν χρόνον πάντα ἐπίμοχθον διανύειν ποιεῖ, καὶ ξενιτείας ἀθέτους καὶ ἐπικινδύνους παρέχεται, καὶ

1 Post λύπας] καὶ κρίσεις καὶ θανάτους. 7 αὐξηφωτούσης cod., αὐξοφωτούσης P. Corr. F. C. 9 F. l. <καὶ> περίκτησιν. 12 δέρδη cod. 21 συγγενικῶν τέκνων. 23 ἐπιθρεπτῶν cod.; ἐπὶ θρεπτῶν P. 25 Post ἀνασκευὰς] καὶ ἐπιθέσεις. 26 Cf. Vettii Valentis *Anthol.*, IV, 20, p. 292 sq. Kroll. 27 ἡμερινῆς] νυκτερινῆς cod. Corr. ex Heph. 30 οὐ καλῶς ἀνεγράφη. ἀπραγίας παρέχει f. mel. 31 F. l. οἰκιακάς. 36 ἀνεπιτευξίας.

οἰκειακὰς λύπας καὶ συγγενικὰ πένθη ἀνωφελῆ. ἐπὶ δὲ νυκτὸς μέτρια τὰ φαῦλα γίνεται, καὶ μετὰ βραδύτητος καὶ δυσπραξίας περιελεύσεται τὸν χρόνον, καὶ πράξεις ἕξει καὶ σώματος εὐρωστίαν καὶ τῶν φαύλων κατόρθωσιν καὶ ἐπιτευκτικὸς ἔσται ὁ χρόνος, πλὴν μετὰ μόχθων καὶ θορύβων.

« Τῷ δὲ Ἡλίῳ ἐπιμερίζων ἐπὶ μὲν ἡμερινῆς γενέσεως κινδύνους παρέχει καὶ ἀπραγίας καὶ θανάτους οἰκείων προσώπων καὶ φόβους καὶ σωματικὰς ἀσθενείας καὶ ἐπανάστασιν ἐχθρῶν καὶ ἐπιπλοκὰς ἐξ ὑπερεχόντων προσώπων. καὶ ἀσχοληθήσονται ἀπραγοῦντες, καὶ πράξεις ἀπράκτους καὶ μοχθηρὰς ἕξουσι. καὶ ἐξ ἰδίων ἐπιβουλὰς καὶ τῷ σώματι πυρετούς, τισὶ δὲ καὶ ῥίγη καὶ ἀπραξίας ἐκ δημοσίων· τὸν δὲ χρόνον μετέωρον καὶ κινδυνώδη ποιήσει. ἐπὶ δὲ νυκτερινῆς γενέσεως μετὰ ἀνωμαλίας καὶ μόχθων καὶ ἀπιστιῶν καὶ ἀντιζηλιῶν φίλων ποιεῖ περιγενέσθαι τῶν κακῶν καὶ ἐχθρῶν καθαίρεσιν καὶ πρᾶξιν σημαίνει, καὶ σύστασιν ἐκ φιλίας ὑπερεχόντων, καὶ τῶν ἀπραγιῶν μεταβολὴν ἐπὶ τὸ κέρδος ὄψεται.

« Τῇ δὲ Ἀφροδίτῃ ἐπιμερίζων [f. 97r] ἐπὶ μὲν ἡμερινῆς γενέσεως προκοπὰς καὶ συστάσεις ἐκ φίλων ποιεῖ, καὶ συκοφαντίας, ἐπιπλοκὴν καὶ βίου κατόρθωσιν, μάλιστα τῆς Ἀφροδίτης ἀθεωρήτου οὔσης ὑπὸ κακοποιῶν. ἐπὶ δὲ νυκτερινῆς ταῖς πράξεσιν ἔσται ἀγαθός· ἐπιφέρει δὲ κωλύσεις καὶ λύπας καὶ βλάβας διὰ γυναῖκα. εἰ δὲ ὕπαυγος εἴη ἡ Ἀφροδίτη ὑπὸ κακοποιῶν θεωρουμένη, ποιεῖ στομαχικὰς νόσους καὶ οἰκειακὰς λύπας· ὁ δὲ χρόνος νοσώδης καὶ ἀηδὴς ἔσται.

« Τῷ δὲ Ἑρμῇ ἐπιμερίζων ἐπὶ μὲν ἡμερινῆς γενέσεως ἐπ' ἀνατολῆς τυχόντι, μετρίας μὲν τὰς πράξεις καὶ τὰ κέρδη ποιεῖ καὶ ἀπὸ λόγων καὶ πραγμάτων κρυπτῶν καὶ φίλων εὐεργεσίας, πάντα δὲ μετὰ βραδύτητος καὶ ἀγωνίας διαλύει τὰ πράγματα. ἐπὶ δὲ νυκτερινῆς, τοῦ Ἑρμοῦ ἐπὶ δύσεως ἑσπερίας ὄντος ἢ ὑπὸ κακοῦ θεωρουμένου, κακὸς καὶ ἀηδὴς γενήσεται ὁ χρόνος· ἀπραγίας γὰρ σημαίνει καὶ ἔχθρας καὶ δίκας καὶ ζημίας ἀρχαίων πραγμάτων, ἀργυρικῶν καὶ δανείων καὶ ἐγγυητικῶν προσώπων, καὶ ἐν θορύβοις ἔσται καὶ ὅρκοις, καὶ βλάβας καὶ ἀσθενείας καὶ βρόχους καὶ ὠταλγίας ποιήσει, καὶ οἰκειακὰς λύπας χάριν θρεπτῶν· εἰς δὲ μεσιτείας καὶ κοινωνίας καὶ συναλλαγὰς βλαπτικὸς καὶ ἄπρακτος γενήσεται ὁ χρόνος.

« Τῇ δὲ Σελήνῃ ἐπιμερίζων ἐπὶ ἡμερινῆς γενέσεως ἐπὶ ἀνατολῆς φερομένη κατόρθωσιν τῶν πραγμάτων καὶ ἀποφυγὴν τῶν κακῶν ἀπεργάζεται καὶ πρᾶξιν καὶ φιλίαν. τῆς δὲ Σελήνης μειουμένης μετὰ ἀνωμαλίας καὶ σκυλμῶν καὶ θορύβων καὶ ἀπιστιῶν καὶ μόχθων περιγε-

2 βραδυτῆτος (ac μετὰ supra versum cod.) P et cod. Item v. 26. 6 ἡμερινῆς] νυκτερινῆς. 12 νυκτερινῆς] ἡμερινῆς. Hic locus aliquanto differt ab Hephaestionis textu. 17 Post ἡπιμερίζων] μῆνας καὶ ἡμέρας. Item vv. 24, 35; p. 97, vv. 14 34; p. 99, vv. 19, 27. — De codicis nostri foliis turbatis, vid. supra, p. 11. Cf. Vetti Valentis *Anthol.*, IV, 21. 21 κωλυσμοὺς. 27 διαλύει] διανύεται.

νήσεται, τῶν πραγμάτων καὶ σύστασιν καὶ κέρδη παρὰ προσδοκίαν ἕξει. ἐπὶ νυκτὸς δὲ μειουμένης τῆς Σελήνης νόσους σωματικὰς καὶ πόνους ἐν κρυπτοῖς τόποις ποιήσει, καὶ βῆχα καὶ στομάχου πόνον καὶ μοχθηρὸν ποιήσει καιρόν, καὶ ζημίας καὶ κινδύνους, καὶ θορυβώδης ὁ χρόνος ἔσται, καὶ θάνατον τοῖς ἔχουσι γυναικὸς ἢ θηλυκοῦ προσώπου ἀποβολήν. »

[F. 97r.] Hephaest., II, 29. Διὸς χρονοκρατορία.

« Ὁ δὲ τοῦ Διὸς λαβὼν τὴν χρονοκρατορίαν ἐπὶ ἡμερινῆς γενέσεως ἐπί τινος κέντρου ἐπαναφορᾶς τυχὼν χωρὶς τῆς πρὸς Ἄρην διαμετρήσεως ἢ τετραγώνου στάσεως ἀγαθὸν καὶ ὠφέλιμον ποιήσει τὸν χρόνον· καὶ γὰρ περίκτησιν βιωτικὴν ποιήσει καὶ δοξαστικὸς ἔσται ἐν πᾶσι, συστάσεις ποιῶν καὶ φιλίας ἀφ' ὧν περίκτησιν μεταλαμβάνουσι, καὶ κακῶν ἅμα καὶ ἐχθρῶν περιέσονται· καὶ ἁπλῶς εἰπεῖν, ὁ χρόνος ἐπιτευκτικὸς ἔσται. ἐπὶ δὲ νυκτερινῆς καλῶς κείμενος ἀγαθὰ ἀποτελεῖ, ἀλλὰ μετὰ μόχθου καὶ ἀπιστίας· κακῶς δὲ ποιήσει λύπας, μόχθους καὶ ἀμφισβητήσεις πρὸς ὑπερέχοντας καὶ ζημίας καὶ ἀπραγίας καὶ ξενιτείας καὶ διαβολὰς καὶ κρίσεις καὶ φθόνους καὶ μερίμνας ἕνεκα δημοσίων, καὶ οἰκειακὰς ἐπηρείας ἐκ μεγάλων προσώπων, καὶ στενοχωρίας βιωτικὰς ἀπεργάζεται. καὶ ἐν μὲν ἡλιακῷ ζῳδίῳ [f. 97v] καλῶς κείμενος προκοπὰς παρέχει καὶ πράξεις ἀφ' ὧν δοξασθήσεται καὶ ὠφεληθήσεται, καὶ τιμὰς ἀπὸ ὑπερεχόντων ἕξει προσώπων. ἐν δὲ σεληνιακῷ ζῳδίῳ μείζονας τὰς πράξεις ποιεῖ καὶ ἐπικερδεῖς, καὶ μάλιστα τῆς Σελήνης αὐξιφωτούσης, καὶ προκοπὰς καὶ κέρδη παρέχεται καὶ ἐκ θηλυκῶν προσώπων ὠφελείας. ἐν δὲ ἰδίοις τόποις τυχὼν καλὸς καὶ ὠφέλιμος γίνεται· καὶ γὰρ κληρονομίας δίδωσι καὶ προκοπὰς ἐπισήμους καὶ πράξεις <καὶ> ἐχθρῶν ἐπικρατήσεις.

« Ἐν δὲ Ἄρεως τόποις συμφώνως πρὸς αὐτὸν τυχὼν παρέχει ἐκ δημοσίων καὶ στρατιωτικῶν ἀνδρῶν ἐπισήμων εὐεργεσίας. ἐὰν δὲ τετράγωνος τύχῃ ἢ διάμετρος, ἀνωμαλίας καὶ βλάβας καὶ θορύβους καὶ ἔχθρας ποιεῖ, καὶ εἰς ὃ ἂν ἐπιβάληται οὐκ ἐπίτευκτον ἕξει τὸν καιρόν.

« Ἐν δὲ Ἀφροδίτης τόποις ὢν χαρίεις ἔσται ὁ χρόνος ταῖς πράξεσι καὶ προκοπαῖς καὶ φιλίαις ἐπισήμοις, καὶ συνήθειαν καὶ ἐπιπλοκὰς γυναικῶν παρέχει ἐπικερδεῖς καὶ ἱλαρὸν καιρόν, καὶ ἀγάμοις γάμον, τοῖς δὲ γεγαμηκόσι σπορὰν τέκνων.

« Ἐν δὲ Ἑρμοῦ τόποις πρακτικούς τε τοὺς χρόνους σημαίνει καὶ ἐπικερδεῖς καὶ σύστασιν καὶ πίστιν ἐκ μεγάλων προσώπων· ὁ δὲ χρόνος

7 Titulus in Heph.: Περὶ Διὸς χρονοκρατορίας. 9 Post κέντρου] ἢ ἐπ. 21 ἀπὸ προσώπων] πρὸς ὑπερέχοντα πρόσωπα. 25 καὶ addo ex Heph. 27-28 ἐκδημιῶν. 29 ἀνωμάλως. 34 ἐπικερδῆ.

ἱλαρὸς καὶ ἐπικερδὴς ἔσται, μάλιστα δὲ τοῦ Ἑρμοῦ καλῶς κειμένου ταῦτα ποιεῖ, κακῶς δὲ τυχόντος ἀπραγίας καὶ στενοχωρίας καὶ ἀνασκευὰς καὶ ἔχθρας ἀπεργάζεται.

« Ὁ Ζεὺς Κρόνῳ ἐπιμερίζων μῆνας καὶ ἡμέρας ἐπὶ ἡμερινῆς γενέσεως δόξαν καὶ σύστασιν καὶ εὐρωστίαν σώματος ἐπιτελεῖ καὶ κέρδη καὶ φιλίας ἐπισήμους καὶ προκοπὰς καὶ ἐχθρῶν ἐπικράτησιν καὶ ἀπόλυσιν κακῶν, καὶ τόπους μεταβάλλει ἐπὶ τὸ εὔκρατον καὶ βίου πρόθεσιν καὶ κέρδη ἀπεργάζεται. ἐπὶ δὲ νυκτερινῆς γενέσεως ἀποβολὰς βιωτικὰς σημαίνει καὶ ἀηδίας καὶ λύπας καὶ σκυλμοὺς καὶ ταραχώδεις χρόνους καὶ διαβολὰς ἐκ φίλων καὶ ἐξ ἰδίων προδοσίας καὶ ἐγκλήματα καὶ στενοχωρίας καὶ συνοχὰς ἐξ ὑπερεχόντων προσώπων ἀπεργάζεται, καὶ εἰς πάντα ψυκτικὸς ὁ χρόνος καὶ ἀηδὴς ἔσται ἔν τε ἀσθενείαις κρυπταῖς καὶ νόσοις μακραῖς καὶ μετεωρισμοῖς ψυχικοῖς.

« Τῷ Ἄρει δὲ ἐπιμερίζων ἐπὶ μὲν ἡμερινῆς γενέσεως οὐκ ἀγαθός· λύπας γὰρ παρέχει καὶ ἐπιβουλὰς ἐξ ἰδίων εἰκαίας ἔχθρας καὶ φάσεις κενὰς ἀκούσεται καὶ μετεωρισμοὺς ἕξει, καὶ φόβον καὶ ἀπραγίαν, ζημίαν καὶ κινδύνους ἐξαίφνεις, συκοφαντίας, κατηγορίας καὶ δημοσίων πραγμάτων ταραχὰς καὶ ὄχλων ἀρχοντικῶν ἐναντιώσεις. ἕξει δὲ τιμὴν καὶ οἰκειακὰς λύπας· ἐπὶ δὲ νυκτερινῆς, μετὰ σκυλμῶν καὶ μοχθῶν πράξεις καὶ στρατείας.

« Τῷ δὲ Ἡλίῳ ἐπιμερίζων ἐπὶ ἡμερινῆς γενέσεως μετεωρισμοὺς καὶ στενοχωρίας καὶ κρίσεις καὶ πρὸς ἰδίους καὶ φίλους αἰφνιδίους ἔχθρας ἀπεργάζεται περὶ ἀρχαίων πραγμάτων, μάλιστα ἐν ταῖς ἀρχαῖς τῶν χρόνων, καὶ σκυλμὸν σωματικὸν καὶ κεφαλῆς καὶ στομάχου πόνον ποιεῖ· ὕστερον δὲ περι[f. 138r]γίνονται πάντων μετὰ μόχθου ὀλίγου, καὶ χαρήσονται καὶ ἐξ ἐπισήμων ἀνδρῶν δόξας ἕξουσιν. ἐπὶ δὲ νυκτερινῆς γενέσεως οὐ καλὸς ὁ χρόνος ὑπάρξει· ἀπειλὰς γὰρ καὶ διαβολὰς καὶ ζημίας καὶ πένθη καὶ κινδύνους πατρῶν τοῖς ἔχουσι σημαίνει, καὶ δυσφημίας καὶ κρίσεις καὶ ἐπιβουλὰς ἀπὸ φίλων καὶ ἔχθρας συγγενικῶν προσώπων πρὸς ὑπερέχοντας καὶ ὄχλους καὶ ἐξ ἰδίων προδοσίας καὶ δαπάνας καὶ ἐχθρῶν ἐπαναστάσεις ποιήσει. εἰ δὲ Ἄρης ἐπέλθοι Ἡλίῳ ἔχοντι τοὺς χρόνους, νόσους αἱματικάς, αἱμαγμοὺς καὶ φρενοβλαβείας ποιεῖ.

« Τῇ δὲ Ἀφροδίτῃ ἐπιμερίζων ἐπί τε νυκτερινῆς καὶ ἡμερινῆς γενέσεως ἀπὸ ξένης ἐπὶ τὰ ἴδια φέρει· καὶ κέρδη παρέχει καὶ πράξεις καὶ ἐχθρῶν ἐπικράτησιν καὶ γυναιξὶ συνελεύσεις καὶ φιλίας καὶ ἀγάμοις γάμον, γεγαμηκόσι δὲ τέκνα ποιήσει, καὶ ἱλαρὸς ὁ χρόνος ἔσται· καὶ ἐν τέχναις καὶ ἐπιτηδεύμασιν ἐμπράκτους καὶ πίστεις πρὸς φίλους. τῆς δὲ Ἀφροδί-

7 πρόσθεσιν. 17 ἐξαίφνης cod. 19 νυκτερινῆς γενέσεως. 20 Post στρατείας add. Heph.: ἀγαθούς τε καὶ ἐπικερδεῖς καὶ ἐπιτευκτικοὺς τοὺς χρόνους σημαίνει. 26 ἐξεπισήμων cod., ἐξ om. P. 27 ἀπειλὰς] ἀπωλείας. 28 πατρῶν| πρ P (scil. πατρός?). 38 πίστεσι.

της ὑπὸ κακῶν θεωρουμένης καὶ οὔσης ἐσπερίας ποιεῖ ἐξ ὄχλων λύπας καὶ θορύβους καὶ ζημίας καὶ κρίσεις καὶ μερίμνας καὶ ἀπραγίας, καὶ καθόλου οἱ χρόνοι ἄπρακτοι καὶ ἐνδεεῖς γενήσονται.

« Τῷ δὲ Ἑρμῇ ἐπιμερίζων καὶ ἐπὶ ἡμερινῆς καὶ νυκτερινῆς γενέσεως ποιεῖ προκοπὰς καὶ πίστιν καὶ διὰ λόγων εὐφημίας καὶ ἐκ θηλυκῶν προσώπων ὠφελείας καὶ φιλίας ἀγαθάς. τοῦ δὲ Ἑρμοῦ ὑπὸ κακῶν θεωρουμένου ἢ ὑπ' αὐτὰς ὄντος βλαπτικὸς ὁ χρόνος ἔσται· ἔχθρας γὰρ καὶ ζημίας καὶ ἀπραγίας καὶ θορύβους ποιήσει.

« Τῇ δὲ Σελήνῃ <ἐπι>μερίζων ἐπὶ ἡμέρας καὶ νυκτὸς φερομένῃ ἐξ ἀνατολῶν ὠφέλειαν περὶ κτῆσιν καὶ προκοπὰς καὶ νίκην κατ' ἐχθρῶν σημαίνει καὶ χαρὰν τῶν ἐν οἴκῳ καὶ ξενιτείας καὶ ἀλλαγὰς τόπων ποιεῖ ἐπὶ συμφέροντι. τῆς δὲ Σελήνης ἐξ ἀποκρούσεως φερομένης ἄχρηστον ποιήσει καιρόν, καὶ ζημίας καὶ ἔχθρας εἰκαίας ἕξει καὶ κρίσεις. »

[F 138r.] Hephaest., II, 30. Ἄρεως χρονοκρατορία.

« Ὁ δὲ τοῦ Ἄρεως λαβὼν τοὺς χρόνους ἐπὶ μὲν νυκτερινῆς γενέσεως ἐπί τινος κέντρου ἢ ἐπαναφορᾶς τυχὼν χωρὶς τῆς πρὸς Κρόνον διαμετρήσεως ἢ τετραγώνου στάσεως ἔμπρακτος εἰς πάντα καὶ ἐπικερδὴς καὶ δοξαστικὸς καθέστηκε· ποιεῖ γὰρ προκοπὰς καὶ περικτήσεις καὶ σύστασιν πρὸς ὑπερέχοντα πρόσωπα καὶ εὐφημίας ὀχλικάς, καὶ ἀνυστικὸς ὁ χρόνος ἔσται. ἐπὶ δὲ ἡμερινῆς γενέσεως μάλιστα ὕπαυγος ποιεῖ ἀσθενείας καὶ κινδύνους καὶ διαβολὰς καὶ ἐπηρείας καὶ σκυλμούς· εἰ μή πως αὐτὸς ἀγαθοποιός τις ἰδὼν τοὺς μόχθους ἀναλύσει, καὶ ἐν μὲν οἴκῳ Ἡλίου οὐκ ἔστιν ἀγαθός· ξενιτείας γὰρ παρέχει καὶ χειμασίας πραγμάτων καὶ νόσους καὶ κινδύνους τομάς τε σιδήρου. εἰ δὲ Κρόνος ἐπιβῇ, καὶ οἰκείων θανάτους ὄψεται πρεσβυτικῶν· ἐὰν δὲ ὁ Κρόνος ἐπὶ τὸν Ἄρεα ὢν ἐπιθεωρήσῃ καὶ τὸν Ἥλιον ἐκ κοιλιακῆς διαθέσεως κίνδυνον ποιεῖ καὶ πατρικὸν κίνδυνον τοῖς ἔχουσι καὶ ὀφθαλμῶν πόνους.

« Ἐν δὲ τοῖς τῆς Σελήνης τόποις στομαχικοὺς <πόνους?> καὶ ζημίας καὶ ἀπραγίας καὶ νωθρίας σώματος λειχῆνάς τε καὶ ψώρας, καὶ ἐπιβουλὰς καὶ κρίσεις καὶ λύπας χάριν θηλυκῶν προσώπων· τισὶ δὲ καὶ μητέρων λύπας ἤ τινος τῶν ἀπὸ γένους θάνατον, καὶ ἀκατα[f. 138v]στασίαν καὶ ἀμφισβήτησιν πρὸς ἰδίους ποιεῖ, καὶ ἐκ δημοσίων βλάβας καὶ κινδύνους ἐκ κοιλιακῆς νόσου καὶ ὀφθαλμῶν πόνους· καὶ μάλιστα ἂν αὔξῃ ἡ Σελήνη ἐν ἰδίοις οἴκοις.

« Ἐν δὲ ἰδίοις οἴκοις τυχὼν ἐπὶ ἡμερινῆς γενήσεως καλῶς ἐν πᾶσίν ἐστι τοῖς προχειριζομένοις· ἔμπρακτος γὰρ καὶ ἐπικερδὴς ὁ χρόνος.

1 κακῶν] κακοποιῶν, f. mel.; item v. 6. 9 ἐπιμερίζων. 10 περίκτησιν. 12 ἐπισυμφέροντι. 13 δικαίας corr. ex εἰκαίας, prave. Cf. supra, p. 97, 15. 14 Cf. V. Val. *Anthol.*, IV, 22. 22 αὐτὸν, mel. 36 καλὸς. 37 ἐγχειριζομένοις.

« Ἐν δὲ νυκτεριναῖς γενέσεσι φαῦλος καὶ ζημίας καὶ ταραχὰς παρέχων.

« Ἐν δὲ Διὸς τόποις ἡμέρας μὲν μετεωρισμοὺς χάριν ὀχλικῶν ἢ δημοσιακῶν πραγμάτων, καὶ ἀνεπιτευξίας ἐν ταῖς πράξεσι, καὶ ἔχθρας καὶ διαβολὰς ἀπὸ ὑπερεχόντων προσώπων καὶ κρίσεις καὶ ζημίας παρέχων αἰφνιδίους. νυκτὸς δὲ καλὸς ἐν πᾶσι τοῖς ἐγχειριζομένοις, σύστασίν τε καὶ προκοπὴν καὶ κέρδη καὶ νίκην καὶ ἐχθρῶν περιποιεῖ.

« Ἐν δὲ Κρόνου τόποις καλὸς ἐν πᾶσιν ὁμοίως καὶ θερμοτέρας τὰς πράξεις παρέχει καὶ θάνατον πρεσβυτέρων ὄψεται ἀφ' ὧν μόχθους καὶ μάχας μετ' ὠφελείας ἕξει.

« Ἐν δὲ τοῖς τῆς Ἀφροδίτης ψόγους ποιήσει καὶ ἐπηρείας καὶ ἔχθρας, καὶ στομάχους καὶ οἰκειακὰς μέμψεις διὰ θηλυκὰ προσώπα καὶ χωρισμοὺς ἢ καὶ κινδύνους γυναικῶν τοῖς ἔχουσιν· εἰς δὲ τὰς πράξεις ἀγαθός ἐστιν.

« Ἐν δὲ Ἑρμοῦ τόποις κρίσεις καὶ ἀνωμαλίας καὶ διαβολὰς καὶ ἐχθρῶν ἐπαναστάσεις, ζημίας, ψευδοκατηγορίας ἀπὸ ἰδίων καὶ φίλων, ἔτι δὲ ἐξ ἰδίων θρεπτῶν ἢ δούλων λύπας· εἰς γὰρ κλοπὰς καὶ ἁρπαγὰς ὁ χρόνος πᾶς ἔσται.

« Ὁ δὲ Ἄρης Κρόνῳ ἐπιμερίζων ἐπὶ ἡμέρας ταραχώδεις τοὺς χρόνους καὶ ἀκαταστάτους σημαίνει εἴς τε τὸν γάμον καὶ εἰς τὸν βίον καὶ εἰς τὰ τέκνα· ἔτι δὲ ἀπραγίας καὶ κρίσεις καὶ βίας καὶ ἔχθρας καὶ ἐπιβουλὰς καὶ λύπας καὶ ἀπροκοπίας καὶ πένθος γονέων ἀνωφελὲς καὶ λύπας καὶ μερίμνας βιωτικάς, καὶ καθόλου βλαπτικοὶ καὶ ἄπρακτοι γενήσονται. ἐπὶ δὲ νυκτὸς παγχάλεπος· σημαίνει γὰρ δήμου ἐπηρείας καὶ κατακρίσεις, καταπλοκὰς νόσους τε μακρὰς καὶ πένθη, εἰ μή πως ἡ Ζεὺς ἢ Ἀφροδίτη ἐπὶ μαρτυρίαν ἔξουσι· λύσις γὰρ ἔσται τῶν κακῶν.

« Τῷ Διὶ δὲ ἐπιμερίζων ἐπὶ ἡμερινῆς γενέσεως ἐν πᾶσιν ἀγαθοὺς τοὺς χρόνους σημαίνει καὶ συστάσεις καὶ φιλίας πρὸς ὑπερέχοντας ποιεῖ, ἀφ' ὧν δόξας καὶ προκοπὰς καὶ εὐφημίας, καὶ ἀρχὰς λαμβάνουσι, καὶ ἐχθρῶν ταπείνωσιν καὶ λύσεις κακῶν καὶ κατόρθωσιν πάντων τῶν πραγμάτων, καὶ εἰς πάντα πρακτικὸς ὁ χρόνος ἔσται καὶ εὐρωστίας σώματος. ἐπὶ δὲ νυκτερινῆς γενέσεως ἐν ἀρχῇ ἔχθρας καὶ θορύβους καὶ ἀπραγίας καὶ ψύξεις, ὕστερον δὲ περιγενήσεται τῶν φαύλων, καὶ συστάσεις καὶ κέρδη καὶ φιλίας ἕξουσι, καὶ ὀλίγα βλαβέντες πολλῶν περιγενήσονται.

« Τῷ δὲ Ἡλίῳ ἐπιμερίζων ἐπὶ μὲν ἡμέρας τοῦ Ἡλίου κεκακωμένου ποιεῖ κινδύνους, ταραχάς, δικολογίας ἕνεκεν δημοσίων πραγμάτων, καὶ ζημίας καὶ ξενιτείας καὶ πατρικῶν ἀποστέρησιν ἢ πατρὸς κίνδυνον τοῖς ἔχουσι καὶ ἐχθρῶν ἐπανάστασιν, καὶ ἐπηρείας καὶ νόσους καὶ ἀπὸ

5 ἀπὸ ὑπ. προσώπων] πρὸς ὑπερέχοντα πρόσωπα. 24 νυκτὸς] ἡμερινῆς. παγκάκιστος. 36 Τῷ δὲ Ἡλίῳ ἐπιμ.] Textus qui ad Solem attinet post eum qui ad Hermetem in Heph. ponitur. ἡμέρας] νυκτὸς.

κρημνῶν πτώσεις, <ἢ> ἀποπληξίαν ἢ ἀγκόνην καὶ μετεωρισμὸν παρέχεται, εἰ μή πως Ζεὺς ἢ Ἀφροδίτη θεωρήσαντες θεραπεύσουσι καὶ ποιήσουσι πρᾶξίν τινα καὶ ἀναστροφὰς μετὰ μόχθου καὶ ἀπιστιῶν, [f. 139r] πλὴν ἐπιφέρει νόσους οἰκείων χάριν δούλων ἢ τέκνων ἐπαναστάσεις, ὄχλων καταβολὰς καὶ κεφαλῆς καὶ ὀφθαλμῶν πόνον ἔξουσιν. ἐπὶ δὲ νυκτερινῆς ἀγαθὸς καὶ πρακτικὸς ἐν πᾶσι καθέστηκε, καὶ πράξεις καὶ φιλίας καὶ ἀπόλυσιν κακῶν παρέχεται μετὰ μόχθου καὶ ἀπιστίας.

« Τῇ δὲ Σελήνῃ ἐπιμερίζων ἐπὶ μὲν νυκτερινῆς γενέσεως, τῆς Σελήνης ἐξ ἀνατολῆς φερομένης, χαλεποὺς χρόνους σημαίνει καὶ κινδύνους· ἐπιφέρει γὰρ φόβους καὶ αἰφνιδίων πραγμάτων ταραχὰς καὶ ζημίας καὶ πένθη θηλυκοῦ προσώπου ἤτοι μητρὸς ἢ συγγενικῆς κεφαλῆς· ἀκαταστατήσει δὲ καὶ ἀσθενήσει· καὶ αἱμαγμοὺς καὶ ἐκτρώσεις ἕξει, καὶ τόπων ἀλλαγάς, εἰ μή πως ἀγαθοποιοῦ τινος ἰδόντος ἀποφυγὴ ἔσται τῶν κακῶν. ἐπὶ δὲ νυκτὸς ἐξ ἀποκρούσεως φερομένης τῆς Σελήνης εἰς πάντα ἀγαθὸς καὶ ὠφέλιμος ἔσται, καὶ προκοπὴν καὶ σύστασιν καὶ εὐεργεσίας χάριν καὶ κέρδη καὶ βίου κατόρθωσιν. ἐπὶ ἡμέρας δὲ ταράττει καὶ βλάπτει, ἀλλὰ μεταβάλλει τὸ κακὸν ἐπὶ τὸ κρεῖσσον, καὶ μόχθους καὶ θορύβους διαλύσει.

« Τῇ δὲ Ἀφροδίτῃ ἐπιμερίζων ἐπὶ μέν νυκτὸς ἀγαθοὺς καὶ πρακτικοὺς τοὺς χρόνους ἀποτελεῖ καὶ ἐχθρῶν ταπείνωσιν καὶ συναρμογὰς γυναικῶν, ἀλλὰ σὺν ψόγῳ καὶ περίκτησιν δὲ ἕξει καὶ κέρδη, μάλιστα τῆς Ἀφροδίτης ἑῴας ἀνατολικῆς οὔσης. εἰ δὲ Κρόνον θεωρήσει, ἐκ θηλυκῶν προσώπων λύπας καὶ μερίμνας ποιεῖ· εἰς δὲ τὰ λοιπὰ ἀγαθός ἐστιν. ἐπὶ δὲ ἡμέρας εἰς μὲν τὰς πράξεις ἀγαθός, πλὴν ἐπιφέρει θορύβους καὶ ἔχθρας γυναικῶν καὶ ἐκτρώσεις καὶ φίλων ἀχαριστίας καὶ ψόγον διὰ γυναῖκα καὶ διαθέσεις ἐρωτικὰς ἢ μοιχείας καὶ χωρισμοὺς γυναικῶν καὶ συγκρούσεις ἢ διαβολὰς καὶ κατάγνωσιν.

« Τῷ Ἑρμῇ δὲ ἐπιμερίζων ἐπί τε νυκτερινῆς καὶ ἡμερινῆς γενέσεως, μηδὲ τούτου διαμετρουμένου ἢ τετραγωνιζομένου ὑπό τινος τῶν κακοποιῶν, κακουργίας πραγμάτων καὶ ληστρικὰς ἐπιθέσεις καὶ κρίσεις καὶ συνοχὰς καὶ διαβολὰς ἐκ φίλων καὶ δούλων ἐπιβουλὰς καὶ πλοκὰς καὶ ἐπηρείας καὶ συκοφαντίας χάριν πραγμάτων καὶ δανείων καὶ ἐγγυητικῶν προσώπων, θορύβους καὶ ἐγκλήματα καὶ ἐναντιώσεις φίλων καὶ δούλων καὶ σωματικοὺς κινδύνους ποιεῖ, εἰ μή πως Ζεὺς ἐπιθεωρήσας ποιήσει πράξεις ἀγαθὰς καὶ ἀναστροφὰς καὶ ἐχθρῶν ἐπικράτησιν. »

1 ἢ ἀποπλ. 4-5 ἐπαναστάσεως. 9 ἐπικυνδύνους, f. mel. 11 ἢ] καὶ. 14 ἀποκρίσεως prave. 15 σύστασιν εὐεργ. (καὶ omisso). 17 ἀλλὰ] καί. Codex noster praestare mihi videtur. 21 περίκτισιν cod. 23 et 24 ἀγαθῆ. 25 ἀχριστίας cod. Corrigo ex Heph. 32 συκοφαντίας - δανείων] συκοφ. πραγμάτων καὶ χάριν δανείων.

[F. 139r.] Hephaest., II, 31. Ἡλίου χρονοκρατορία [1].

« Ὁ Ἥλιος ἑαυτῷ ἐπιμερίζων ἐπὶ μὲν ἡμερινῆς γενέσεως ἐπὶ τοῦ ὡροσκόπου τυχὼν ἐμπράκτους χρόνους ποιεῖ καὶ συστάσεις πρὸς ὑπερέχοντα πρόσωπα καὶ ἀποδημίας ἐμπράκτους καὶ πίστεις καὶ φιλίας παρέχεται, καὶ ἀπὸ παλαιῶν πραγμάτων ὠφελείας, καὶ ἐν πᾶσιν ἀγαθὸς καὶ ἐπικερδής. ἐπὶ νυκτερινῆς δὲ ἀκτινοβολούμενος ὑπὸ κακοποιῶν μετεωρισμοὺς καὶ πρὸς μεγάλα προσώπα ἀμφισβήτησιν ποιεῖ. καὶ ἐὰν τύχῃ πράσσων, ἀπραγήσει. καὶ ταραχθήσεται καὶ ἀθυμήσει καὶ νοσήσει, καὶ κρίσεις ποιήσει βιαίας [f. 139v] καὶ στενοχωρίας καὶ ὀφθαλμῶν ἄλγησιν καὶ πληγὴν σιδήρου ἐπιφέρει καὶ πατρὸς κίνδυνον καὶ μητρικῶν ἐλάττωσιν καὶ πράγματα κεφαλικὰ ἐπάγει καὶ ἐλάττωσιν· καὶ εἰς ὃ ἂν ἐπιβάληται ἀνωφελὴς ὁ χρόνος.

« Ἐν δὲ Ἄρεως οἴκῳ τυχὼν νόσους κοιλιῶν ποιεῖ καὶ πλευρῶν πόνους καὶ τραῦμά τι καὶ ἕνεκα ἐχθρῶν πολλὰ κακὰ ποιήσει χάριν ἐπιβουλῆς καὶ βλάβας καὶ ζημίας καὶ ἐξ ὄχλων ἰδίων προδοσίας. νυκτὸς δὲ μετριώτερα τὰ φαῦλα ἔσται.

« Ἐν δὲ Κρόνου οἴκοις δυσεντερίας καὶ στραγγουρίας καὶ ἀποστήματα· καὶ ὁ πατὴρ δὲ κινδυνεύσει τοῦ ἔχοντος· καὶ ἀπραγίας καὶ νόσους παρέχει, μάλιστα νυκτός, ἡμέρας δὲ μετὰ ἀπιστίας καὶ βραδύτητος ἀνύσει τὸ πράγματα.

« Ἐν δὲ Ἑρμοῦ τόποις δίκας αἴρει πρὸς ὑπερέχοντας καὶ ἐχθροὺς ἐπεγείρει, καὶ ψῦξιν πραγμάτων καὶ ζημίας καὶ ἐπιθέσεις, μάλιστα νυκτός· ἡμέρας δὲ περιγενέσθαι τῶν φαύλων ποιεῖ.

« Ἐν δὲ τοῖς τῆς Ἀφροδίτης τόποις διὰ θηλυκὰ πρόσωπα μετεωρισμοὺς ποιεῖ καὶ ψόγον καὶ λύπας καὶ μερίμνας παρέχει.

« Ἐν δὲ τοῖς ἰδίοις ἡμέρας μὲν καλῶς κείμενος πρὸς ὑπερέχοντας σύστασιν καὶ δόξαν περιποιεῖ, νυκτὸς δὲ μέτριος.

« Ἐν δὲ τοῖς τόποις τοῦ Διός, νυκτὸς μὲν τὰ φαῦλα μέτρια ποιήσεται καὶ ἐπικράτησιν τῶν ἐχθρῶν παρέξει, πλὴν λύπην ἐπάγει τινῶν ἰδίων, ἡμέρας δὲ ἀγαθός, καὶ δόξαν ποιεῖ ἐν πᾶσι τοῖς ἔργοις.

« Ἐν δὲ τοῖς τόποις τῆς Σελήνης χαλεπὸς καὶ ἄπρακτος ἔσται, τόπους ἐκ τόπων μεταβάλλων καὶ θορύβους καὶ ἀσθενείας καὶ ὀφθαλμῶν πόνον ποιῶν καὶ στομάχων, καὶ μάλιστα νυκτός· ἡμέρας δὲ ἀγαθὸς καὶ ἔμπρακτος, ἐὰν αὐξιφωτῇ ἡ Σελήνη.

4 ἀπὸ ἐπιδημίας cod. Corrigo ex Heph. 5-6 καὶ ἐν πᾶσιν ὁ χρόνος ἀγ. 9 βιαίας] καὶ βίας. 11 μητρικῶν] πατρικῶν, f. mel. ἐπάγει καὶ ἐλάττωσιν (*sic*)] ἐπάγει καὶ καρδίας ἄλγησιν, καὶ εἰς ὃ ἄν. 13 Post τυχὼν] ἡμέρας μὲν hic et in P deesse videtur. 14 τι καὶ καὶ cod. 15 καὶ ἰδίων, f. mel. 18 F. suppl. <περὶ> τοῦ ἔχ. 19-20 βραδυτῆτος cod. et P, ut supra scriptum vidimus. 21 ἔχθρας, f. mel. ?

[1] Ἡλίου ἐπιμερισμοὶ in V. Valentis editione non comparent.

« Ὁ Ἥλιος τῇ Σελήνῃ ἐπιμερίζων ἐπὶ νυκτερινῆς γενέσεως οὐκ ἀγαθός ἐστιν· φθόνους γὰρ φέρει καὶ ζημίας πρὸς χρόνον ὀλίγον καὶ δαπάνας καὶ ξενιτείας καὶ ἀπὸ θηλυκῶν προσώπων ἀηδίας καὶ ἔχθρας ἀπὸ ἰδίας. εἰ δὲ αὐξιφωτοῦσα τύχοι ἡ Σελήνη, μετρίως βλάπτει, καὶ ἀπὸ μόχθων ἀποφυγὴ ἔσται τῶν κακῶν ἡμέρας· νυκτὸς δὲ τῆς Σελήνης ἐπ' ἀνατολῆς φερομένης καλλίστου καιροῦ γίνεται συμφωνία καὶ κέρδη εὐημερίαν ἔχοντα.

« Τῷ δὲ Κρόνῳ ἐπιμερίζων ἐπὶ νυκτὸς κινδύνους καὶ ἀπραγίας καὶ ψῦξιν πράξεων καὶ κρίσεις καὶ ἀνασκευὰς ἐπιφέρει καὶ νεύρων ἀλγηδόνας καὶ λύπας καὶ δάκρυα σὺν θορύβοις καὶ ἔχθρας ἀπὸ πρεσβυτέρων καὶ θανάτους οἰκείων προσώπων ὄψεται <καὶ> φόβους καὶ μερίμνας, καὶ εἰς πάντα βλαβερὸς ὁ χρόνος ἔσται. ἐπὶ δὲ ἡμέρας μέτρια φαῦλα καὶ πρᾶξιν καὶ σύστασιν παρέχει καὶ ἄνυσιν πραγμάτων, πλὴν μετὰ βραδύτητος.

« Τῷ δὲ Διὶ ἐπιμερίζων ἐπὶ ἡμερινῆς γενέσεως μεγάλας πράξεις καὶ περίκτησιν καὶ δόξας πολιτικὰς παρέξει, καὶ ἐν πᾶσιν ὁ χρόνος καλὸς ἔσται, καὶ νίκην κατ' ἐχθρῶν δώσει καὶ κληρονομίας καὶ μεγάλων ἀνδρῶν φιλίας. ἐπὶ νυκτὸς δὲ κακῶν πλείστων αἴτιος ἔσται· μετρίους γὰρ τοὺς χρόνους καὶ ἀπράκτους καὶ ζημιώδεις ἀπεργάζεται καὶ σκυλτικοὺς καὶ προκοπῶν ἐκκοπὰς καὶ ἔχθρας καὶ θορύβους ποιήσει καὶ σωματικὰς ὀχλήσεις, καὶ μάλιστα ἐὰν ὑπὸ κακῶν θεωρηθῇ.

[F. 140r] « Τῷ δὲ Ἄρει ἐπιμερίζων ἐπὶ ἡμερινῆς γενέσεως οὐκ ἀγαθός· κακῶν γὰρ πλείστων αἴτιος γενήσεται, καὶ ἐκπτώσεις καὶ ἐπιθέσεις καὶ διαβολὰς καὶ κινδύνους καὶ νόσους καὶ αἱμαγμοὺς καὶ πτώσεις ἐξ ὕψους ποιήσει ἢ ἀπὸ τετραπόδων καὶ ὀφθαλμῶν πόνον καὶ ἐξ ἰδίων προδοσίας καὶ οἰκείων θορύβους καὶ φίλων ἔχθρας καὶ αἰφνιδίους συμφορὰς ἐγείρει. ἐπὶ νυκτὸς δὲ μέτρια τὰ φαῦλα καὶ ἀποφυγὴ ἔσται τῶν κακῶν φιλάνθρωπος.

« Τῇ δὲ Ἀφροδίτῃ ἐπιμερίζων καὶ ἐπὶ ἡμέρας καὶ νυκτὸς ἀμαρτυρήτῳ οὔσῃ ὑπὸ κακοποιῶν πρᾶσιν καὶ ἐπίκτησιν σημαίνει, μάλιστα ἑῴας οὔσης· καλοὶ γὰρ οἱ χρόνοι ἐπὶ ταύτης ἀνεγράφησαν· ἤτοι γὰρ διὰ θηλυκοῦ προσώπου ἢ φίλου ἢ ἐπιτηδεύματός τινος εὐημερίας παρέχει καὶ ὠφελείας, καὶ ἐν πᾶσιν ἐπιχαρὴς ἔσται ὁ χρόνος, καὶ εἰς ὃ ἂν ἐπιβάληται ἐπιτυγχάνει· ὑπὸ δὲ κακοποιῶν θεωρουμένης ἢ δυτικῆς οὔσης καὶ ἑσπερίας, μέτριοι οἱ χρόνοι καὶ ἄπρακτοι καὶ ἐπιτάραχοι καὶ ἐπιβλαβεῖς, καὶ ἐπιθέσεις ἐξ ἰδίων καὶ θηλυκῶν, καὶ ἐπηρείας καὶ βλάβας ποιεῖ.

« Τῷ δὲ Ἑρμῇ ἐπιμερίζων καὶ ἐπὶ ἡμέρας καὶ ἐπὶ νυκτὸς καλοὺς τοὺς χρόνους καὶ ἐπιτευκτικοὺς καὶ ἐμπράκτους ποιεῖ, καὶ εὐημερίας ἔκ

1 Post ἐπιμερίζων] μῆνας καὶ ἡμέρας. Item, post ἐπιμερίζουσα, p. 104, 3 et 14. ἡμερινῆς. 4 ἀπὸ ἰδίας] πρὸς ἰδίους. 12 τὰ φαῦλα 14 βραδυτῆτος cod. et P, fere ubique. 16 καὶ ἐξ ὄχλου δόξας. 17 μεγάλας. 20 σκυλτικάς cod., corr. ex Heph. 26 ἐξ οἰκείων, f. mel. 28 φιλανθρώπως. 31 ἐπὶ ταύτης] ἐν πᾶσιν.

τε πραγμάτων ἢ πίστεως ἢ συναλλαγῶν, καὶ κοινωνίας καὶ ἀγορασμοὺς καὶ οἰκονομίας ἀποτελεῖ, καὶ εἰς πάντα ὁ χρόνος ἱλαρὸς ἔσται. ἐν δύσει δὲ ὄντος ἑσπερίᾳ καὶ ὑπὸ κακοποιοῦ θεωρουμένου πραγμάτων ἐκκοπὰς καὶ θορύβους ποιεῖ καὶ ἐπιβουλὰς καὶ ζημίας καὶ φίλων ἀχαριστίας καὶ ἀπροσωπίας καὶ θλίψεις βιωτικὰς καὶ ἐκ δούλων ἐπιθέσεις ἢ δρασμοὺς καὶ κλοπάς, ἢ νόσους θρεπτῶν καὶ στομάχου καὶ ἔχθρας αἰφνιδίους, εἰ μή πως ὁ ἀστὴρ ἀνατολικὸς ὢν φανῇ· οὕτω γὰρ ἀποφυγὴν τῶν κακῶν ποιήσει.

[F. 140r.] Hephaest., II, 32. Ἀφροδίτης χρονοκρατορία.

« Ἡ Ἀφροδίτη ἑαυτῇ ἐπιμερίζουσα ἐπὶ ἑῴας ἀνατολῆς καὶ ἐπίκεντρος οὖσα χωρὶς τῆς ἀπὸ Κρόνου θεωρίας ἀγαθοὺς τοὺς χρόνους σημαίνει ἐπιτευκτικούς τε καὶ πρακτικοὺς καὶ δοξαστικοὺς καὶ σύστασιν ἔχοντας πρὸς ὑπερέχοντας, καὶ πράξεις ἐπικερδεῖς καὶ χαρὰν ἐπὶ οἰκείοις καὶ προκοπάς, ἔτι δὲ καὶ πρὸς θηλυκὰ πρόσωπα φιλίας καὶ ἐρεθισμοὺς ἀφ' ὧν ὠφελοῦνται, καὶ ἐν τέχναις ἢ ἐπιτηδεύμασιν εὐημεροῦσι καὶ καλωνυμοῦνται καὶ ἐχθρῶν περιγίνονται. θεωρουμένη δὲ ὑπὸ κακοποιῶν θορύβους καὶ κρίσεις καὶ ἀπραγίας καὶ μερίμνας ἐπάγει, καὶ ἐν πᾶσι τὸν χρόνον βλαπτικόν· ὁμοίως καὶ ἀθεώρητος οὖσα ὑπὸ κακοποιῶν ἀγαθή ἐστιν· ὕπαυγος δὲ οὖσα καὶ ὑπὸ κακοποιῶν θεωρουμένη ταραχὰς καὶ μάχας ἐκ θηλυκῶν προσώπων καὶ φίλων παραβάσεις καὶ ἔχθρας ἐπιφέρει, καὶ ἀπραγίας καὶ ψύξεις πράξεων καὶ κινδύνους καὶ ἐκτρώσεις καὶ αἱμαγμοὺς [f. 140v] γυναικῶν ἀπέργαζεται καὶ νόσους.

« Καὶ ἐὰν μὲν τύχῃ ἐν οἴκῳ Ἡλίου, αἰσχρὰ πράγματα διαπράσσεται, μοιχείας καὶ χωρισμοὺς προπετεῖς· ἐν δὲ οἴκῳ Σελήνης ζηλοτυπίας καὶ ἔχθρας διὰ γυναῖκα, εἰς δὲ τὰ λοιπὰ πάντα ἔμπρακτος καὶ ἐπικερδὴς ἔσται.

« Ἐν δὲ ἰδίοις τόποις ἀγαθὸν καὶ ἐπικερδῆ τὸν χρόνον, καὶ μάλιστα διὰ θηλυκῶν προσώπων καὶ πράσεις καὶ βίου συναλλαγὴν παρέχει καὶ φίλων σύστασιν.

« Ἐν δὲ Κρόνου τόποις φθόνους καὶ μετεωρισμοὺς ἀπεργάζεται καὶ νόσους μακρὰς καὶ μερίμνας διὰ γυναῖκας καὶ φαντασίας ὀνείρων καὶ ἄπρακτον τὸν χρόνον.

« Ἐν δὲ Διὸς τόποις μεγάλας προκοπὰς σημαίνει, ἀγάμοις γάμον, γεγαμηκόσι τέκνα, καὶ ἐν πᾶσιν ἱλαρὸν τὸν χρόνον.

« Ἐν δὲ Ἄρεως τόποις...

« Ἐν δὲ Ἑρμοῦ τόποις ἐπιχαρῆ τὸν χρόνον σημαίνει καὶ πράσεις καὶ

1 καὶ κοιν.] καὶ om. 5 ἀπροσωπία addendum lexicis. 11 ἀπὸ Κρόνου] πρὸς Κρόνον. 16 καλωνυμοῦνται] καλλωνυμοῦνται P. καλωνυμεῖν addendum lexicis. 21 πράσεων cod. 23 ἡ Ἀφροδίτη τύχῃ. 25 εὔπρακτος. 35 Ἐν δὲ Ἄρεως τόποις] vacat reliquus versus in cod. et sequens; haec verba om. P. 35 πράξεις P et cod. Corrigo.

ὠνὰς παίδων μουσικῶν καὶ αὐτοὶ δὲ Μούσης τινὸς ἐρασταὶ γενήσονται καὶ σύστασιν φιλίας ἕξουσιν.

« Ἡ Ἀφροδίτη Κρόνῳ ἐπιμερίζουσα ἐπὶ μὲν νυκτερινῆς γενέσεως κινδύνους θανατηφόρους γυναικῶν ποιεῖ καὶ σύγχυσιν καὶ ἐπηρείας καὶ διὰ θηλυκοῦ προσώπου λύπας, καὶ εἰς πάντα τὸν χρόνον ἀηδῆ καὶ νοσώδη καὶ ἄπρακτον· ἢ γὰρ φαρμάκων ὑπονοίας ἢ ἐπιβουλὰς παρέχεται, καὶ εἰς πᾶν ὃ ἂν πράξωσι χάριν οὐχ ἕξουσιν, ἀλλὰ μέμψιν ὑπομενοῦσι, καὶ εὐεργετήσαντες ἀχαριστοῦνται, καὶ πράξεων ἐκκοπὰς καὶ ἀπὸ περιψύξεως ἢ ῥευμάτων ἢ βασάνων ἢ σπληνὸς πόνον, ὥστε καὶ ἐπὶ ναοὺς καταφεύγειν προφάσει νόσων. ἐπὶ δὲ ἡμέρας ἀποφυγὴν τῶν κακῶν ἀπεργάζεται καὶ πράξεις καὶ κέρδη καὶ ἐκ μὴ ἐλπιζομένων πραγμάτων καὶ προκοπὰς ἐπὶ τὸ κρεῖττον καὶ ἐν παντὶ τὸν χρόνον ὠφέλιμον.

« Τῷ δὲ Διὶ ἐπιμερίζουσα ἐπί τε ἡμερινῆς καὶ νυκτερινῆς γενέσεως ἀγαθὴ ἐν πᾶσιν ἔσται, καὶ προκοπὰς ποιεῖ καὶ κέρδη καὶ ἀγάμοις γάμον καὶ ἀτέκνοις τέκνα καὶ ἐχθρῶν ἐπικράτησιν καὶ σύστασιν καὶ εὐφημίαν ἀπὸ φίλων καὶ θηλυκῶν προσώπων διά τε λόγων ἢ πραγμάτων ἢ ἐπιτηδευμάτων. καὶ πολλὰ κτήσονται, καὶ ψευδόμενοι πιστευθήσονται, καὶ ἐν ταῖς πράξεσιν ἐπιτεύξονται, καὶ ἐξ ἐμπορικῶν ἢ κοινωνικῶν ἔργων ὠφελοῦνται, ἐπί τε οἴκῳ καὶ παντὶ πράγματι ἐπίχαριν ποιήσει τὸν χρόνον, καὶ ἀγορασμοὺς καὶ ἔμμουσα πράγματα. εἰ δ' ὕπαυγος εἴη, ψόγον καὶ θορύβους καὶ ζημίας καὶ ἐναντίωσεις ἐπάγει ἕνεκα γυναικός καὶ διαβολὰς καὶ φίλων ἀχαριστίας.

« Τῷ Ἡλίῳ δὲ ἐπιμερίζουσα ἐπὶ ἡμερινῆς γενέσεως, μὴ οὖσα ὕπαυγος μήτε ὑπὸ κακοποιῶν θεωρουμένη μεγάλας πράξεις καὶ ἐπίκτησιν καὶ σύστασιν καὶ κέρδη ἐκ θηλυκῶν προσώπων καὶ φίλων ἐπισήμων εὐεργεσίας καὶ χαρὰν ἐπὶ τῷ οἴκῳ καὶ εὐφημίαν ἐν πᾶσι πράγμασι· θεωρουμένη δὲ ὑπὸ κακοποιῶν ἢ Διός, μάλιστα νυκτός, χωρισμοὺς γυναικῶν ἀποτελεῖ [f. 141r] καὶ ἔχθρας καὶ ψόγον καὶ θορύβους διὰ γυναῖκα, εἰς δὲ τὰς πράξεις ἀγαθὴ καὶ ἐπικερδής.

« Τῇ δὲ Σελήνῃ ἐπιμερίζουσα ἐπί τε νυκτὸς καὶ ἡμέρας, τῆς Σελήνης ἐξ ἀνατολῆς φερομένης, ἀντιδικίας καὶ ἐναντιώσεις καὶ ἔχθρας ἀνασκευάζει, ἀπραγίας τε καὶ ἐγκοπὰς πραγμάτων ποιεῖ καὶ ψύξεις καὶ χωρισμοὺς γυναικῶν καὶ ἔχθρας αὐτῶν καὶ δρασμοὺς καὶ νόσους καὶ οἰκετῶν ἐλάττωσιν καὶ φαρμακείας ὑπομένουσι, καὶ εἰς γυναῖκα ὑποψίαν ἕξουσι, καὶ ζηλοτυπίας καὶ δειγματισμοὺς[1] καὶ οἰκειακὰς

1 μουσικῶν] παίδων μεμουσωμένων. 10 ναοὺς] θεοὺς. μόχθων καὶ νόσων 15 ἀγαθὴ] καλή. 18 κτήσεται lege κτήσονται [F. C.]. 20 ἔργων] πραγμάτων. 21 εἴη ἡ Ἀφροδίτη. 24 Ἀφροδίτη Ἡλίῳ ἐπιμερ. 31 Ἀφροδίτη Σελ. ἐπιμ 35 οἰκετικῶν. 36 δηγματισμοὺς P et cod. Corr. F. C.

[1] Vide infra, p 108, 22 et in papyro *Berliner Griech. Urkunden*, I, p. 244, n. 246, 5: κινδυνεύω ταὐτὰ ἀπολέσαι μετὰ καὶ δειγματισμοῦ. Alio sensu verbum usurpatur in inscriptione Rosettana. Cf. Dittenberger, *Orient. Inscr.*, n° 90, n. 86. — F. C.

ἀηδίας καὶ ἀναστατώσεις ποιεῖ, καὶ πᾶν τὸ ἐξερχόμενον δαπανηθήσεται εὐθέως· δικάζονται δὲ πολλάκις πρός τινας. ἐξ ἀποκρούσεως δὲ φερομένη μετρίως ὠφελεῖ καὶ πράξεις καὶ συστάσεις καὶ κέρδη ἀπροσδοκήτως ποιεῖ.

[F. 141r.] Hephaest., II, 33. Ἑρμοῦ χρονοκρατορία.

« Ὁ Ἑρμῆς δὲ λαβὼν τὴν ἐπικράτησιν τοῦ χρόνου ἐπί τε ἡμερινῆς καὶ νυκτερινῆς γενέσεως ἐπὶ ἀνατολῆς ἑῴας τυχὼν καὶ ἐπίκεντρος χωρὶς κακοποιοῦ θεωρίας, ἀγαθὸς καὶ πρακτικὸς καὶ ἐπικερδής ἐστι, καὶ συστατικοὺς καὶ εὐφήμους ἀποτελεῖ καὶ προσόδους ἀπό τε λόγων καὶ πραγμάτων ἢ πίστεως ἢ τέχνης ἢ ἐπιτηδευμάτων καὶ ἐχθρῶν καθαίρεσιν, οἰκείων τε χαρὰν καὶ πάντων ἐπίτευξιν. ἐὰν δὲ ὑπὸ κακοποιῶν θεωρηθῇ, θορύβους, δίκας καὶ ἐγκλήματα ἐπάγει. καὶ ἐν μὲν ἡλιακῷ ζῳδίῳ τυχὼν ποιεῖ πράξεις καὶ κέρδη χαρίζεται. ἐὰν μὲν σεληνιακῷ ζῳδίῳ νυκτὸς μὲν αὐξιφώτου οὔσης τῆς Σελήνης, καὶ πρᾶξιν καὶ σύστασιν καὶ δόξαν καὶ προκοπὴν ποιεῖ· ληγούσης δὲ τῆς Σελήνης ἐν ἀρχῇ μὲν ἀπραγίαν, ὕστερον δὲ πρᾶξιν καὶ ἐπιτευκτικὸν ἐργάζεται τὸν χρόνον καὶ ὠφέλιμον ἐν τῇ προκοπῇ καὶ συστάσει καὶ φιλίᾳ.

« Ἐν δὲ ἰδίοις τόποις καλὸς καὶ πρακτικὸς καὶ δοξαστικός.

« Ἐν δὲ τόποις Κρόνου ψύξεις πραγμάτων καὶ ἀποβολὰς καὶ ἀρχαίων πραγμάτων ἀνασκευὰς καὶ ἔχθρας.

« Ἐν δὲ Ἄρεως οἴκοις θορύβους καὶ ἐπιβουλὴν πραγμάτων καὶ κατηγορίας καὶ θλίψεις καὶ διαβολὰς καὶ ἐχθρῶν ἐπανάστασιν καὶ δούλων λύπας καὶ ἐνέδραν πραγμάτων.

« Ἐν δὲ Διὸς τόποις ἐπίχαρις καὶ ἐπικερδὴς καὶ δοξαστικὸς ἔσται, καὶ λαμπρὸν τὸν χρόνον ποιήσει καὶ Μούσης τινὸς προθύμως ἐρασθήσονται.

« Ὁ Ἑρμῆς δὲ Κρόνῳ ἐπιμερίζων καὶ ὑπὸ τοῦ Διὸς θεωρούμενος ἀπραγίας καὶ ζημίας καὶ ἀρχαίων πραγμάτων ἀνασκευὰς καὶ κρυπτῶν ἔργων ἐλέγξεις καὶ οἰκετῶν λύπας ἢ τέκνων θρεπτῶν καὶ νόσους καὶ κινδύνους ἐπάγει καὶ περὶ τὰ νεώτερα πράγματα αἰτίας καὶ σωματικὰς ὀχλήσεις ἕνεκα κρυπτῶν πόνων, καὶ εἰς πάντα ἀηδὴς ὁ χρόνος.

« Τῷ Διὶ δὲ ἐπιμερίζων καὶ ἐπὶ νυκτὸς καὶ ἐπὶ ἡμέρας πρακτικοὺς τοὺς χρόνους σημαίνει καὶ περίκτησιν [f. 141v] καὶ κέρδη καὶ ἐχθρῶν καθαίρεσιν καὶ χαρὰν ἐπὶ οἴκῳ καὶ εὐφημίαν καὶ ἀγορασμοὺς καὶ προκοπὰς διά τε λόγων καὶ γραφῶν καὶ ἐμποριῶν καὶ μισθαρνιῶν. εἰ δὲ ὕπαυγος εἴη καὶ ὑπὸ κακῶν θεωροῖτο, μάλιστα ἔχθρας καὶ ζημίας καὶ δίκας ἢ διαβολὰς καὶ φθόνον καὶ ἐνέδραν καὶ μετεωρισμοὺς παρέξει ἀπὸ μεγάλων προσώπων.

5 In huius capituli textu Hephaestioneo codicis unici P folium 139*bis* partim prosectum est. 27 Post ἐπιμερίζων] verba μῆνας καὶ ἡμέρας in parte hic prosecta extitisse suspicor, deperditae partis ratione habita. 35 μισθωτικῶν.

« Τῷ δὲ Ἄρει ἐπιμερίζων καὶ ὑπὸ τούτου θεωρούμενος ἐπιταράχους τοὺς χρόνους σημαίνει καὶ θλίψεις καὶ συκοφαντίας καὶ ἔχθρας καὶ ῥαδιουργίας καὶ λῃστρικὰς ἐπιθέσεις καὶ ἀποστερήσεις καὶ ἐπιορκίας ἐκ φίλων, ἐπανάστασίν τε ἐχθρῶν καὶ ζημίας ἀπό τε λόγων καὶ πραγμάτων ἀργυρικῶν καὶ κατηγορίας ἄλλων ἁμαρτησάντων, καὶ ἐπὶ τετραπόδων καθῆσθαι κωλύσει διὰ πτῶσιν, καὶ τέκνων ἢ θρεπτῶν λύπας καὶ δούλων δρασμοὺς καὶ στομάχου πόνον καὶ καρδίας, μάλιστα ἡμέρας. νυκτὸς δὲ περιγενέσθαι τῶν φαύλων ποιεῖ.

« Τῇ δὲ Ἀφροδίτῃ ἐπιμερίζων καὶ ἐπὶ ἡμερινῆς καὶ νυκτερινῆς τῆς Ἀφροδίτης ἑῴας ἀνατολικῆς ἐπικέντρου ἐπιπλοκὰς καὶ συνηθείας γυναικῶν ποιεῖ, καὶ ἐπίχαριν καὶ ἐπικερδῆ καὶ ἐκ φίλων εὐεργεσίας καὶ ἀνάπαυσιν κακῶν, καὶ πᾶν ὅ, τι ἂν λέγωσι πιστευθήσονται. ἐὰν δὲ ὑπὸ κακοποιῶν θεωρηθῇ ὕπαυγος ὤν, μόχθους καὶ λύπας ἐπάγει χάριν γυναικὸς ἢ ἀγγελίαν ἐπίλυπον καὶ οἰκείας ἀηδίας ἀπεργάζεται.

« Τῷ Ἡλίῳ δὲ ἐπιμερίζων μάλιστα ἀνατολικὸς ὢν ξενιτείας σημαίνει καὶ μεταβολὰς τόπων καὶ πίστιν καὶ μυστήρια τηροῦσι καὶ πολιτικὰς ἀηδίας διαλύει καὶ δημόσια πιστευθήσονται, καὶ καλὸς ὁ χρόνος ἔσται. εἰ δὲ ὕπαυγος τῷ Ἡλίῳ τύχοι, ποιεῖ πόνον καὶ πρός τινας ἔχθρας καὶ ταραχάς, ὕστερον δὲ περιγίνονται· νυκτὸς δὲ ὕπαυγος ὢν μετέωρον χρόνον καὶ βλαπτικὸν σημαίνει, καὶ ἐκ μεγάλης κεφαλῆς ἀπειλὰς καὶ ἐπανάστασιν ἐχθρῶν καὶ μόχθους καὶ κατηγορίας καὶ δαπάνας ποιήσει, καὶ ἐκ δούλων λοιδορίας καὶ βλάβας ἕξει.

« Τῇ δὲ Σελήνῃ ἐπιμερίζων ἐπί τε ἡμέρας καὶ νυκτὸς τῆς Σελήνης ἐξ ἀνατολῆς φερομένης πρακτικοὺς τοὺς χρόνους σημαίνει καὶ ἐπικερδεῖς. τῆς δὲ Σελήνης ἐξ ἀποκρούσεως φερομένης μικροψυχίας παρέχει καὶ παρ' ἐλαχίστων προσώπων καὶ γυναικὸς ἀηδίας καὶ μερίμνας καὶ φιλονεικίας πραγμάτων καὶ λύπας καὶ διαβολάς, καὶ ἐπὶ τοῖς <μὴ> γεγονόσι πιστεύονται καὶ νοσοῦσι, καὶ ζημίας ὑφίστανται ἕνεκα πραγμάτων ἢ λόγων, καὶ τὸ λαμπρὸν τούτοις οὐκ ἔσται λαμπρόν, τὸ δὲ χαλεπὸν τούτοις ὀξὺ καὶ μετέωρον.

[F. 141v.] Hephaest., II, 34. Σελήνης χρονοκρατορία.

« Ἡ Σελήνη λαμβάνουσα τοὺς χρόνους ἐπὶ νυκτερινῆς γενέσεως ἐπίκεντρος οὖσα καὶ αὐξίφωτος ἀγαθὴ καὶ ἔμπρακτος καὶ ξενιτείας ἀγαθὰς παρέχει καὶ συστάσεις καὶ εὐφημίας· τισὶ δὲ καὶ ἀπὸ μητρὸς τοῖς ἔχουσιν ἢ θηλυκοῦ προσώπου ὠφελείας. ληξίφωτος δὲ οὖσα ἀτονώτερον ποιεῖ τὸν καιρόν· [f. 142r] ἐπὶ δὲ Ἡλίου αὐξιφωτοῦσα οὐ κακὴ μὲν

2 ἢ συκοφ. 3 ἢ ῥαδ. 10 καὶ ἐπικέντρου. 12 Post πιστευθήσονται] Add. Heph.: καὶ μουσικῶν ἢ ὀρχηστικῶν ἐρασθήσονται. 15 ἀνατολικὸς ἐπὶ ἡμέρας ξενιτ. 16 τελοῦσι. 19 ταραχὰς] ταραχθῆναι. 27 μὴ add. ex Heph. 28-29 πραγμάτων] γραπτῶν. 33 ἀγαθὴ] καλὴ. 35 ὠφελείας παρέξει. λειψιφαὴς. 36 Ἡλίου] ἡμέρας.

ἀνεγράφη εἰς ἅπαντα, μετὰ βραδύτητος δὲ καὶ μόχθου ἐπιτελεῖ τὰς πράξεις. λειψιφαὴς δὲ ἐπὶ ἡμέρας οὖσα ἐν παντὶ βλαπτική· καὶ γὰρ δυναστευθήσονται καὶ ξενιτείας ἀνωφελεῖς ποιήσουσι καὶ φόβους καὶ κινδύνους. ἐὰν δὲ κακοποιὸς ἐμβῇ εἰς τοὺς τῆς Σελήνης τόπους αὐτῆς ἐχούσης τοὺς χρόνους κινδύνους περὶ τὸ ζῆν καὶ νόσους. ἀγαθοποιοῦ δὲ θεωρήσαντος σκεπασμὸς τῶν κακῶν ἔσται καὶ στομάχου πόνος καὶ ὀφθαλμίαι καὶ ἐντέρων κακώσεις καὶ θάνατος οἰκείων καὶ ἀκαταστασία καὶ θόρυβοι ἰσχυροί. καὶ ἐν μὲν ἰδίῳ ζῳδίῳ μικροψυχίας καὶ κενὰς ἀγγελίας. εἰ δὲ ἐπὶ τῆς ἡμέρας καὶ νυκτός, λυπηρὸς εἴη εἰς ἅπαντα ὁ χρόνος.

« Ἐν δὲ τοῖς τοῦ Κρόνου τόποις σωματικὰς ἀσθενείας καὶ ῥευματισμοὺς καὶ παλαιῶν πραγμάτων ἀνασκευὰς καὶ ζημίας καὶ ἐχθρῶν ἔγερσιν, καὶ ἐν πᾶσιν ἀηδὴς ὁ χρόνος, μάλιστα δὲ ἐὰν ᾖ λειψίφωτος· ἐὰν δὲ καὶ αὐξίφωτος, οὐκ ἔστι βλαπτική.

« Ἐν δὲ τοῖς τοῦ Ἡλίου τόποις ταραχὰς καὶ σκυλμοὺς καὶ λύπας πρὸς ἰδίους ποιεῖ.

« Ἐν δὲ τοῖς τοῦ Διὸς ἀπόλυσιν κακῶν ποιεῖ καὶ σύστασιν καὶ δόξαν καὶ ἐχθρῶν καθαίρεσιν, καὶ μάλιστα ἐπ' ἀνατολῆς οὖσα λειψιφαὴς δὲ οὖσα οὐκ ἀγαθή, ἀλλὰ μετρίας τὰς εὐεργεσίας ποιεῖ.

« Ἐν δὲ τοῖς τοῦ Ἄρεως ὀμμάτων ἀσθενείας ποιεῖ, μάλιστα ἐπὶ ἡμέρας, καὶ αὐξίφωτος οὖσα πυρετούς, αἱμαγμούς, κινδύνους, στομάχου πόνον καὶ ἀνασκευὰς ποιεῖ. νυκτὸς δὲ ἐν πᾶσιν ἀγαθὴ τοῖς ἐγχειριζομένοις καὶ ὀξέως τὰς πράξεις περαίνει· καὶ δοκοῦντες βλάπτεσθαι ἀπροσδοκήτως ὠφελοῦνται.

« Ἐν δὲ τοῖς τῆς Ἀφροδίτης ζηλοτυπίας πραγμάτων καὶ ἀντικατάστασιν γυναικῶν ποιεῖ· οὐ μέντοι βλαπτικὴ γίνεται, ἀλλ' ὠφέλιμος ἐν παντὶ πράγματι· περιγίνεται δὲ καὶ τῶν ἐχθρῶν. εἰς τὰ θηλυκὰ πρώσωπα ταραχώδης ἔσται ὁ χρόνος.

« Ἐν δὲ τοῖς τοῦ Ἑρμοῦ ἀνασκευὰς πραγμάτων ἐξ ἀρχῆς, ὕστερον δὲ περιγενέσθαι ποιεῖ καὶ πιστὸν ἀπεργάζεται.

« Ἡ Σελήνη Κρόνῳ ἐπιμερίζουσα ἐπὶ μὲν νυκτὸς λειψιφαὴς ἀνενδεὴς καθέστηκεν, εἰ καὶ ἀνωφελίας καὶ δυσπραξίας σημαίνει καὶ παροδικὰς ἀσθενείας καὶ κρίσεις καὶ ζημίας καὶ εἰς πάντα ἀηδής· αὐξίφωτος δὲ οὖσα καὶ ὑπὸ ἀγαθοποιοῦ θεωρουμένη σύστασιν καὶ πρᾶξιν καὶ βίου κατόρθωσιν μετὰ μόχθου ποιεῖ· ἐπὶ δὲ ἡμέρας αὐξίφωτος οὖσα εἰς πάντα ἀγαθὴ καὶ τῶν μὴ προσδοκωμένων πραγμάτων ἀνυστική· εἰ δὲ λειψίφωτος εἴη ἐπὶ ἡμέρας, νόσους ἐπιφέρει καὶ κινδύνους κρυπτῶν τόπων καὶ κοιλίας καὶ μακροχρονίας καὶ παλαιῶν πραγμάτων ἀνάμνησιν καὶ λύπας καὶ διαβολὰς καὶ μερίμνας γυναικῶν, ἔτι δὲ ὀφθαλμῶν

4 Post κινδύνους] Add. Heph.: ἔξουσι καὶ καθαιρηθήσονται. 5 κινδύνους - νόσους] κινδυνεύει εἰς τὸ ζῆν καὶ νόσους ἀθλήσει. 33 Post ἀηδὴς] πλὴν μετέωρος. 37 λειψίφωτος] λειψιφαὴς. 38 μακροχρονίων.

ἀλγηδόνας καὶ ῥίγη καὶ πυρετούς, εἰ μή πω Διὶ ἐπιθεωρήσας σώσει λήθην κακῶν παρέχων.

« Τῷ Διὶ δὲ ἐπιμερίζουσα ἐπὶ ἡμέρας καὶ αὐξιφωτοῦσα [f. 142v ἀγαθὰ σημαίνει καὶ νίκην κατ' ἐχθρῶν καὶ δόξας πολιτικὰς καὶ εὐρωστίαν σώματος καὶ ἐκ θηλυκοῦ προσώπου σύστασιν καὶ ὠφέλειαν καὶ εὐφημίαν ἀποτελεῖ· λειψιφαὴς δὲ μετὰ μόχθων καὶ ἀπιστίας πράξει τὰ ἀγαθά. ἐπὶ δὲ νυκτὸς αὐξιφωτοῦσα δὲ ἀηδῆ καὶ ἄπρακτον τὸν χρόνον ποιήσει καὶ μετὰ ἀγωνίας καὶ φόβου τῶν φαύλων ἀποφυγήν.

« Τῷ δὲ Ἄρει ἐπιμερίζουσα ἐπὶ νυκτὸς αὐξιφωτοῦσα ἀγαθὴ καὶ ἔμπρακτός ἐστιν ἐν συστάσει καὶ προκοπαῖς ἐξ ὑπερεχόντων προσώπων καὶ κτῆσιν ποιεῖ ἐκ δημοσίων πραγμάτων καὶ ἐξ ὄχλων εὐφημίαν καὶ ἐκ στρατιωτικῶν προσώπων, καὶ τὸν χρόνον ἐπιτευκτικὸν εἰς πάντα ποιήσει καὶ εἰς πίστιν καὶ ἀρχὰς ἐπίδοξον. καὶ γάμον καὶ συνήθειαν γυναικὸς σημαίνει ἐπὶ καλῷ, μάλιστα τῆς Σελήνης τριγώνου θέσιν ἐχούσης πρὸς αὐτόν. τῆς δὲ Σελήνης ἐκ δύσεως φερομένης οὐ κακὸς μὲν ἔσται ὁ χρόνος, ἐπιτάραχος δὲ καὶ σκυλτικὸς ἐν ἀρχῇ, ὕστερον δὲ καὶ κέρδη ποιήσει καὶ προκοπὰς καὶ ἐχθρῶν ταπείνωσιν. ἐπὶ ἡμέρας δὲ λειψιφωτοῦσα ἀγαθὴ μὲν ἔσται, ἀλλ' οὐ τοσοῦτον ὠφέλιμος, μετὰ δὲ θορύβων καὶ ἐναντιωμάτων καὶ ἐνστάσεως ἐχθρῶν, περιγίνονται τῶν φαύλων· αὐξιφωτοῦσα δὲ κακὴ καὶ ἀηδής· κινδύνους γὰρ καὶ ἔχθρας καὶ ζημίας καὶ ἔφοδόν τινων λῃστῶν καὶ φόβους ἐκ δημοσίων καὶ δειγματισμοὺς καὶ ἀπειλὰς ἐξ ὑπερεχόντων, ἔτι δὲ καὶ λύπας δούλων καὶ κλοπάς, σωματικάς τε νόσους ἐκ σιδήρου καὶ κίνδυνον ἐκ πυρὸς ἢ πτώσεως, καὶ ξηνιτείας σκυλτικὰς καὶ ὀφθαλμίας καὶ ἐκτρώσεις, καὶ καθόλου βλαπτικὸν τὸν χρόνον.

« Τῷ δὲ Ἡλίῳ ἐπιμερίζουσα ἐν θηλυκοῖς ζῳδίοις ὄντι ἢ καὶ ἀμφότερον, ἄνδρας ὑποταγῆναι ποιεῖ διὰ ἐρωτικὴν συμπάθειαν. ἐὰν δὲ ὁ μὲν Ἥλιος ᾖ ἐν θηλυκῷ ζῳδίῳ, Σελήνη δὲ ἐν ἀρσενικῷ μερίμνας διὰ γυναῖκα καὶ ἀντιζηλίας ποιεῖ, ὠφέλειαν δὲ ἐξ ἰδίων μετὰ προηγησαμένην ταραχήν. εἰ δὲ ὁ μὲν Ἥλιος ἐν ἀρσενικῷ, ἡ δὲ Σελήνη ἐν θηλυκῷ αὐξιφωτοῦσα ἔσται, ἐν πᾶσιν ἀγαθὴ καὶ ἐπικερδὴ τὸν χρόνον ποιήσει· καὶ γὰρ σύστασιν καὶ φιλίας ἐπισήμους καὶ γυναικὸς συνήθειαν καὶ γάμον ἢ μοιχείαν ποιεῖ καὶ ἐπικερδὴ τὸν χρόνον καὶ δημοσίας πράξεις καὶ ἐχθρῶν ἐπικράτησιν· λειψιφωτοῦσα δὲ οὐκ ἀγαθή· φθόνον γὰρ καὶ ζημίας καὶ μέμψεις καὶ ἔχθρας ποιεῖ, καὶ ἐξ ὑγρῶν ὄχλησιν· εἰ δὲ κακοποιὸς θεωρήσει, καὶ κινδύνους περὶ τὴν ζωὴν ποιεῖ.

« Τῇ δὲ Ἀφροδίτῃ ἐπιμερίζουσα ἐπὶ νυκτὸς λειψιφωτοῦσα ἀγαθὴ καὶ ὠφέλιμος καθέστηκε, ποιεῖ γὰρ γάμους καὶ σύστασιν γυναικὸς καὶ ἐκ γυναικείων προσώπων κέρδη καὶ δόξας μετὰ ἱλαρότητος καὶ πράξεις παρέξει. αὐξιφωτοῦσα δὲ ποιεῖ θορύβους καὶ οἰκομαχίας καὶ ἐναντιώσεις διὰ γυναῖκα καὶ μετεωρισμοὺς καὶ ζηλοτυπίας καὶ ψόγον καὶ

22 δηγματισμούς.

ἔχθρας· ποιεῖ δὲ περιγενέσθαι ὕστερον. [f. 143r] ὁμοίως δὲ καὶ ἐπὶ ἡμέρας αὐξιφωτοῦσα τῆς Ἀφροδίτης ὑπὸ ἀγαθοποιῶν θεωρουμένης, ὑπαύγου τῷ Ἡλίῳ οὔσης, ψόγον καὶ ἐπήρειαν γυναικὸς ποιεῖ καὶ φίλων ὑποκρίσεις καὶ βλάβας καὶ οἰκειακὰς ἀηδίας καὶ θρεπτῶν ἢ δούλων νόσους καὶ ἐν πᾶσιν ἐναντίους τοὺς χρόνους ποιεῖ, καὶ σωματικὰς ὀχλήσεις καὶ ἐξ ἀπεψίας τροφῶν ἢ πολυοινίας ἢ ψυγμῶν ἢ βαλανείων ἢ ἐρωτικῆς τινος ἀφορμῆς ἢ ἀκαίρων δαπανῶν κακοπραγίας.

« Τῷ δὲ Ἑρμῇ ἐπιμερίζουσα ἐπὶ ἡμέρας τε καὶ νυκτὸς καὶ αὐξιφωτοῦσα πρακτικοὺς τοὺς χρόνους σημαίνει καὶ περιποιητικὰ συστάσεώς τε καὶ φιλίας καὶ κέρδους καὶ δόξης καὶ ἐπίτευξιν καὶ εὐφημίαν· ἔσονται γὰρ ὁριμεῖς ἐν ταῖς πράξεσι καὶ δυνασταὶ πολλὰ ἀνύοντες καὶ ἐχθρῶν περιγινόμενοι. λειψίφωτος δὲ οὖσα ἔλλειψιν χρημάτων ποιεῖ καὶ ἐπιβουλὰς καὶ ἀντιλογίας καὶ παραβάσεις συνθηκῶν καὶ φίλων ἀχαριστίας, πλὴν οὐ πάντη ἄπορος ὁ χρόνος. καὶ εἰ μὲν ὑπὸ Κρόνου θεωρηθείη, ζημίας ἐπιφέρει ἐκ δούλων ἢ δρασμοὺς ἢ προδοσίας ἐκ φίλων καὶ πολυχρονίους νόσους ἢ κοιλιακὰς ἢ στομαχικὰς διαθέσεις. εἰ δὲ ὑπὸ Ἄρεως θεωρηθείη, ἕνεκεν γραπτῶν ποιεῖ δίκας καὶ ἐγκλήματα, πλαστογραφίας τε καὶ ἐπιβουλὰς καὶ κλοπὰς καὶ δόλους, καὶ εἰς πάντα ὁ χρόνος ἀνεπιτήδειος.

« Ἔστιν οὖν διὰ μνήμης καὶ ταῦτα τὰ ἀποτελέσματα ἔχειν σκοποῦντα ἐκ τῆς φύσεως τοῦ τε μερίζοντος ἀστέρος καὶ τοῦ λαμβάνοντος· καὶ κατὰ τὸν αὐτὸν τρόπον ἐν ταῖς ἐπεμβάσεσι σχεδὸν εὑρήσεις τὰ αὐτὰ ἀποτελέσματα. καὶ τὸν ἐνιαυτὸν δέ τινες διαιροῦσιν εἰς τοὺς ζ' ἀστέρας, ἐξ ἀναλογίας τῶν ἐλαχίστων περιόδων, αὐτῷ Κρόνῳ μὲν διδόντες ἡμέρας πε', Διὶ δὲ λδ', Ἄρει μβ', Ἡλίῳ νδ', Ἀφροδίτῃ κβ', Ἑρμῇ νζ', Σελήνῃ οα'· καὶ ἀπὸ τῆς γενεθλιακῆς ἡμέρας τὸν παροδικὸν ἐνιαυτὸν ἀρχόμενον ἀπὸ τοῦ κυρίου αὐτοῦ μερίζουσι τοῖς ἕξης ἀστέρσι καθὼς ἐπὶ τῆς γενέσεως κεῖνται ἡμερῶν τξε' δου τὸν ἐνιαυτὸν ἀριθμοῦντες.

« Ποιοῦσι δὲ καὶ ἕτερον λεπτότερον ἐπιμερισμὸν οὕτως· ὁ Κρόνος μὲν γὰρ ἀπὸ τῶν πε' ἡμερῶν αὐτοῦ μερίζει ἑαυτῷ πρώτῳ ἡμέρας κ', τῷ Διὶ η', τῷ Ἄρει ι', τῷ Ἡλίῳ ιγ', τῇ Ἀφροδίτῃ ε', τῷ Ἑρμῇ ιδ', τῇ Σελήνῃ ις'.

« Ὁ Ζεὺς ἀπὸ τῶν ἑαυτοῦ λδ', ἑαυτῷ πρώτῳ ἡμέρας γ', Κρόνῳ η', Ἄρει δ', Ἡλίῳ ε', Ἀφροδίτῃ β', Ἑρμῇ ε', Σελήνῃ ζ'.

« Ὁ Ἄρης ἀπὸ τῶν μβ' ἑαυτῷ πρώτῳ ἡμέρας ε', Κρόνῳ ι', Διὶ δ', Ἀφροδίτῃ γ', Ἑρμῇ ζ', Σελήνῃ η'.

« Ὁ Ἥλιος ἀπὸ τῶν νδ' ἑαυτῷ ἡμέρας η', Κρόνῳ ιβ', Διὶ ε', Ἄρει ς', Ἀφροδίτῃ δ', Ἑρμῇ η', Σελήνῃ ια'.

23 Post ἀποτελέσματα] add. Heph. : ὅτι τινὲς τῶν (l. τὸν) ἐνιαυτὸν διαιροῦσιν εἰς τοὺς χρόνους. ἀστέρας] θεοὺς. 24 αὐτῶν. 25 λδ'] πδ'. κβ'] F. l. κγ'. (Vide infra.) νζ'] νβ'. 28 τὸν ἐν. ἀριθμοῦντες om. Heph. 31 πρῶτον. Item infra. 32 ι'] ζ'. 36 Ἀφροδ. γ', Ἡλίῳ ε' (om. cod.), Ἑρμῇ ζ'.

« Ἡ Ἀφροδίτη ἀπὸ τῶν κγ' ἑαυτῇ ἡμέραν α', Κρόνῳ ε', Διὶ β', Ἄρει γ', Ἡλίῳ γ', Σελήνῃ ε'.

« Ὁ Ἑρμῆς ἀπὸ τῶν νζ' ἑαυτῷ ἡμέρας θ', Κρόνῳ ιγ', Διὶ ε', Ἄρει θ', Ἡλίῳ η', Ἀφροδίτῃ γ', Σελήνῃ ια'.

« Σελήνη ἀπὸ τῶν οα' ἑαυτῇ ἡμέρας ια', Κρόνῳ ις', Διὶ ζ', Ἄρει η', Ἡλίῳ ια', Ἀφροδίτῃ δ', Ἑρμῇ ια'.

« Ἄλλοι δὲ μερίζουσι τὸν ἐνιαυτὸν τοῖς ζ' ἀστέρσιν ἀπὸ τοῦ κατὰ τὸ ζῴδιον τῆς γενέσεως οἰκοδεσπότου ἀρχόμενοι, [f. 143v] καὶ ἑξῆς τῷ τοῦ ἑξῆς κυρίῳ καὶ συνάγονται ἡμέραι τῶν ιβ' ζῳδίων ρπδ'[1]· τῷ γὰρ Κρόνῳ μόνῳ ἡμέραι λ' δίδονται διὰ τὸ τὰ β' ζῴδια ἃ εἰσιν οἶκοι αὐτοῦ ἐφεξῆς εἶναι. οἷον ἔστω τινὰ ἔχειν τὸν ἐνιαυτὸν ἐν Κριῷ· καὶ ἐπεὶ οἶκός ἐστι τοῦ Ἄρεως, ἀπονέμουσιν αὐτῷ ἡμέρας ιε'· εἶτα τῇ Ἀφροδίτῃ οἶκον ἐχούσῃ τὸν Ταῦρον ἡμέρας η', τῷ δὲ Ἑρμῇ διὰ τοὺς Διδύμους κ', τῇ Σελήνῃ διὰ τὸν Καρκίνον κε', τῷ Ἡλίῳ διὰ τὸν Λέοντα θ', καὶ πάλιν τῷ Ἑρμῇ διὰ τὴν Παρθένον κ', τῇ Ἀφροδίτῃ διὰ τὸν Ζυγὸν η', τῷ Ἄρει διὰ τὸν Σκορπίον ιε', τῷ Διὶ διὰ τὸν Τοξότην ιβ', τῷ Κρόνῳ διὰ τὴν Παρθένον καὶ τὸν Ὑδροχόον λ', τῷ Διὶ καὶ πάλιν διὰ τοὺς Ἰχθύας ιβ', καὶ συνάγονται ἡμέραι ρπδ'. καὶ πάλιν τῷ κυρίῳ τοῦ Κριοῦ παρέχουσιν ἡμέρας ιε' καὶ τοῖς ἐφεξῆς ἐκ δευτέρου ἕως ἂν ὁ ἐνιαυτὸς πληρωθῇ.

« Ἀλλ' οὗτοι οἱ μερισμοὶ οὐ πάνυ συμφωνοῦντες ἡμῖν φαίνονται· ὑπὲρ δὲ τοῦ μὴ λαθεῖν αὐτοὺς ἐξεθέμεθα.

[F. 144v.] [2] Hephaest., III, 1. Περὶ ἐπιτηδείων καὶ ἀνεπιτηδείων ζῳδίων ἐν καταρχαῖς[3].

« Τὰ μὲν ὀρθῶς ἀνατέλλοντα ζῴδια, ἔστι δὲ τὰ ἀπὸ Καρκίνου ἕως Τοξότου, ἐπὶ τῆς ἀνατολῆς ἀκάκωτα τυχόντα ἀνεμποδίστως τὰ πραττόμενα τελέσει, τὰ δὲ λοξά, ἔστι δὲ τὰ ἀπὸ Αἰγοκέρωτος ἕως Διδύμων, ἄνευ μαρτυρίας ἀγαθοποιῶν ἀστέρων δυσκατέργαστα καὶ πολυχρόνια μηνύει· αὐτὰ δὲ τὰ τροπικὰ ἐν τῇ ἀνατολῇ ὄντα μετατρέπει ταχέως τὸ πραττόμενον. διὸ ἐν μὲν ἡμεριναῖς πράξεσιν ἐπιτηρητέον τόν τε Κριόν, τὸν Καρκίνον, τὸν Λέοντα καὶ τὸν Τοξότην, ταῦτα γὰρ ἡμερινὰ ζῴδια, εἴπερ εἴη τοῦτων τι ἐπὶ τῆς ἀνατολῆς, καὶ ἡ Σελήνη τινὶ τούτων παροδεύοι, ἐν δὲ νυκτεριναῖς ὁμοίως τὰ διάμετρα τῶν ἡμερινῶν

2 Post Ἡλ. γ'] Ἑρμῇ δ' (om. cod.). Σελ. γ'. 4 ια'] ι', mel. 5 ια'] ιδ', mel. 14 κ'] ις'. θ'] ιθ'. 26 τὸ πραττόμενον cod. Corr. ex τὰ πραττόμενα, quod quidem in Heph. scriptum est.

[1] Summa numerorum Hephaestionis est 194, codicis nostri 188. Fortasse corrigendum γ. 13 : διὰ τοὺς Διδύμους ις', quod habet Hephaestio.

[2] Cf. Heph. codd. Parisini 2841 (A), f. 26r; 2415 (a) f. 42r; 2417 (P), f. 144r.

[3] Titulus in Heph. περὶ ἐπιτηδείων ζῳδίων καὶ Σελήνης ἐπιτηρήσεων εἰς καταρχήν.

ζῳδίων ἐπισκεπτέον, τουτέστι τὸν Ζυγόν, τὸν Αἰγόκερω, τὸν Ὑδροχόον καὶ τοὺς Διδύμους, ταῦτα γὰρ νυκτερινά. βλάπτει οὖν ἡ Σελήνη ἐκλείπουσα, καὶ μάλιστα ἐν τῷ γενεθλιακῷ ζῳδίῳ τυχοῦσα ἢ τοῖς τούτῳ τριγώνοις· ἔτι δὲ καὶ συνοδικὴ οὖσα, ἧττον μέντοι[1]. ἐπιτηρητέον δὲ καὶ τὸ δωδεκατημόριον αὐτῆς μὴ ἐμπίπτῃ ὅπου ὁ Κρόνος ἢ ὁ Ἄρης, μηδὲ μήν αὐτὴ πανσέληνος εἴη· ἔριν γὰρ καὶ διχοστασίαν μηνύει[2]· μήτε μὴν ἐν τοῖς κατὰ μῆκος ἢ πλάτος ἀριθμοῖς ἀφαιροῦσα, μήτε ἐν τῷ νοτίῳ πέρατι, μήτε ἐν ταῖς τελευταίαις μοίραις τῶν ζῳδίων.

[F. 167r.] Hephaest., III, 4. Πῶς ἄν τις γνοίη τὰς πεύσεις τῶν βουλομένων σκέψασθαι ἐκ καταρχῆς. Ἡφαι<στίωνος>.

« Γνοίη δ' ἄν τις τῶν προσιόντων καὶ προγνῶναι βουλομένων διὰ καταρχῆς τὸ ἐσόμενον κατὰ τὸ καθολικὸν καὶ συνοπτικὸν εἶδος ὁμοιοτρόπως μάλιστα ταῖς γενέσεσι τὴν ἐπίσκεψιν ποιησάμενος. καταστοχάζεσθαι δέ ἐστι καὶ ἀπὸ τούτων· τόν τε γὰρ ὡροσκόπον καὶ τὰ λοιπὰ κέντρα τῆς καταρχῆς ἀκριβῶς στήσαντας πρῶτον τὸ μεσουρανοῦν κέντρον ἐπισκοπεῖν χρὴ καὶ τὸν ἐπ' αὐτοῦ τυγχάνοντα, καὶ πρὸς τοῦτον ἀφορίζειν τὸ πρᾶγμα ἢ τὰς πράξεις. ἐφορατέον δὲ τοὺς παρ' ἑκάτερα β' τόπους, τουτέστι τό τε ἀπόκλιμα καὶ τὴν ἐπαναφορὰν τοῦ μεσουρανήματος καὶ τοὺς ἐν αὐτοῖς ἀστέρας, τοὺς μὲν ἐπὶ τοῦ ἀποκλίματος ὡς δηλοῦντας <τὰ> παρῳχηκότα, τοὺς δὲ ἐπὶ τῆς ἐπαναφορᾶς τὰ μέλλοντα, [f. 167v] τὰ δὲ ἐν αὐτῷ τῷ ἐνεστῶτι καιρῷ τοὺς ἐν τῷ μεσουρανήματι. μηδενὸς δὲ τῶν ἀστέρων ἐπιτυχόντος τοῖς προκειμένοις τόποις λαμβάνειν τοὺς ἐπιθεωροῦντας καὶ δεδυναμωμένους πρὸς αὐτούς. ὅπως γὰρ ἂν οὗτοι καταληφθῶσι τοιουτότροπον τὸ τέλος καὶ τὸ ἐνέργημα τοῦ ζητουμένου ἀποτελοῦσιν. ἀπὸ μὲν γὰρ δύσεως ἐπὶ ἀνατολὰς πορευόμενοι σημαίνουσι λαμπρὰς καὶ ὡραίας καὶ ἐξουσιαστικὰς πράξεις τῶν ἤδη προεγκεχειρισμένων, ὃ δὴ μάλιστα ἐπὶ τοῦ Ἑρμοῦ παραφυλακτέον· ἀπὸ δὲ τῶν ἀνατολῶν ἐπὶ τὰς δύσεις πορευόμενοι τῶν προπεπραγμένων ἢ βεβουλευμένων ἄνεσιν καὶ ἀπόσβεσιν καὶ ἀργίαν σημαίνουσι. καὶ ἐν μὲν ταῖς ἑῴαις ἀνατολαῖς ἀπὸ μοιρῶν ιβ' ἀποστάντες τοῦ Ἡλίου ἄρχονται τῆς ἐνεργείας· ἐντελέστερον δὲ ἀπὸ μοιρῶν ιε'· ἐν δὲ ταῖς δύσεσιν ἀπὸ μοιρῶν ιε' ἕως ζ' ἄρχονται μειοῦν

4 τούτου Heph. (scil. A a P) f. mel. 8 ἀφ. μήτε εἴη Heph. 9 Post ζῳδίων] ita pergit Heph. : ἐπειδὴ κακοποιοί εἰσι. 10 προγνοίη Heph. πεύσεις] σκέψεις P. 11 καταρχῶν P. 13 ἐσόμενον] προγινωσκόμενον A a, προγινόμενον P. 15 τόν τε γὰρ ὡροσκόπον] τήν τε γὰρ ὥραν Heph. 20 ἀστέρας ἐπισκοπητέον Heph. 21 ἀποδηλοῦντας a (ὡς omis.) τὰ add. ex a. 27 πορευόμενοι] φερόμενοι P.

[1] Cf. Dorothei versus 121 sqq. ed. Kroll in *Catal. Vindob.*, p. 102.

[2] Cf. Doroth. v. 125.

τὴν δύναμιν· ἀπὸ δὲ ζης ἕως τῆς τοῦ Ἡλίου μοίρας ἀσθενέστατοι. αἱ δὲ ἑῶοι φάσεις νυκτὸς μέν εἰσι βραδίονες, ἡμέρας δὲ αἱ ἑσπέριοι.

« Προσεκτέον δὲ ταῦτα τῷ μέρει τούτῳ τῶν κέντρων, τὸ μὲν ὡροσκοποῦν ἐπισκοπεῖν δεῖ ὡς σημαῖνον τὴν φύσιν τῆς πεύσεως, τὸ δὲ μεσουρανοῦν τὴν ἐνέργειαν, τὸ δὲ δῦνον τὸ τέλος, τὸ δὲ ὑπόγειον τὰ λαθραῖα· καὶ ὁ μὲν ὡροσκόπος τὰ πρὸς ἀνατολὴν μηνύει μέρη, τὸ δὲ μησουράνημα τὰ πρὸς μεσημβρίαν, τὸ δὲ δῦνον τὰ πρὸς δύσιν, τὸ δὲ ὑπόγειον τὰ πρὸς ἄρκτον. καὶ τὰ μὲν τροπικὰ τῶν ζῳδίων ῥᾳδίας τὰς μεταβολὰς ἤτοι ἐπὶ τὸ ἄμεινον ἢ ἐπὶ τὸ χεῖρον, τὰ δὲ στερεὰ ἀμετάτρεπτον τὸ ζητούμενον πρᾶγμα, τὰ δὲ δίσωμα τὴν τῶν ζητουμένων ἀπόβασιν ἔσεσθαι διμερῆ. καὶ τὰ μὲν ἔνυδρα τῶν ζῳδίων ἐνύδρους τόπους σημαίνει, τὰς δὲ πράξεις δι' ὑγρῶν ἢ ἐν ὑγροῖς· τὰ δὲ ἀμφίβια ἐπικοινωνίαν τῶν τε ἀπὸ γῆς καὶ τῶν ὑγρῶν, τὰ δὲ χερσαῖα ἠπείρους καὶ ὄρη, τὰ δὲ πολύσπερμα καὶ πολύγονα ὄχλους καὶ δήμους, τὰ δὲ ἄγονα ἐρημίας καὶ ἀπραγίας. καὶ οἱ μὲν σύνδεσμοι τῆς Σελήνης κύκλου ἀτελέστατα καὶ ἐλλιπῆ τὰ πράγματα καὶ εἰς τὸ ἐναντίον τὴν μετατροπὴν ἄγοντες· αἱ δὲ τῆς Σελήνης συναφαὶ καὶ ἀπόρροιαι δηλοῦσι τὰ ἀποβησόμενα κατὰ τὴν τῶν ἀστέρων οἷς κοινωνεῖ φύσιν.

« Πρόσωπα δὲ ὁ μὲν τοῦ Κρόνου πρεσβυτικά, στιβαρά, πανοῦργα, ἐνδόμυχα, κακοποιὰ μηνύει· ὁ δὲ τοῦ Διὸς ἀστεῖα, ἀξιωματικά, εὐπάροχα, ἀκμάζοντα, ἱλαρά, ἀγαθοποιά· ὁ δὲ τοῦ Ἄρεως νέους θρασεῖς, θυμικούς, ἀηδεῖς, μοιχικούς, πανούργους, λῃστρικούς, ταρακτικούς, <στραταρχικούς>, βασιλικούς, δυναστάς· ἡ δὲ Ἀφροδίτη ἱλαρούς, χαρίεις, ἀστείους, μουσικούς, ἐμπορικούς, ἁβροδιαίτους, θηλύφρονας· ὁ δὲ τοῦ Ἑρμοῦ εὐπαιδεύτους νέους, πολυτρόπους καὶ ἐμπορικούς· ὁ δὲ Ἡλίου [f. 168r] βασιλικούς, ἡγεμονικούς, ἀκμάζοντας, ἄρρενας· ἡ δὲ Σελήνη βασιλικούς, προβεβηκότας, θηλυκούς.

« Τὰ μὲν οὖν ἰδιότροπα ἑκάστου αὐτῶν ταῦτα καὶ τοιαῦτά ἐστιν. ἐὰν δὲ μετ' ἀλλήλων ὡσί τινες, ἐφαρμοστέον κατὰ τὸ συγκρατικὸν εἶδος, καὶ ἄλλως δὲ προγνωσόμεθα πεπηγμένης τῆς καταρχῆς ἐπ' ἐνίων οὕτως. ἐὰν ὁ κλῆρος τῆς τύχης εἰς τὸ γον ζῴδιον ἀπὸ τοῦ ὡροσκόπου ἐμπέσῃ, ὁ δὲ κύριος τοῦ ζῳδίου ἐναντιωθῇ ἐν αὐτῷ, ἔχθραν πρὸς φίλων καὶ διαφορὰν σημαίνει· εἰ δὲ δίσωμον τύχοι τὸ ζῴδιον, καὶ ἤδη προγεγενημένην <καὶ αὖθις ἐσομένην>· ὁ δὲ ἀστὴρ ὁ κύριος τοῦ κλήρου δηλώσει τὰ πρόσωπα, καθὼς προδεδήλωται. ὁπόταν δὲ πάλιν ὁ κλῆρος εἰς τὸν περὶ φιλίας, τουτέστι τὸν γον τόπον, πέσῃ, ὁ δὲ κύριος αὐτοῦ κακοδαιμονῇ σύν τοῖς ἀγαθοποιοῖς ἢ τῷ κυρίῳ <τοῦ> ὡροσκόπου, ὅ τε τοῦ κακοδαιμονήματος δεσπότης ὡροσκοπήσῃ ἀκακώτου τῆς Σελήνης τυχούσης, περὶ δόξης καὶ ἀρχῆς καὶ ἐξουσίας καὶ ἐλευθερίας

22 Verba θυμικούς - p. 113, 27 περὶ ὁδοιπορίας om. P, deficiente folio uno. 23 στρατ. add. Heph. 25 ἀπαιδεύτους cod. Corr. ex Heph. (sc. A a). 33 φίλων] φίλον cod. Corr. ex a; φίλους A. 34 καὶ αὖθις ἐσομένην add. Heph. 37 ὡροσκόπου] τῆς ὥρας Heph. 39 αὐτεξουσίου καὶ ἐλευθερίου Heph.

ἡ καταρχὴ εὑρίσκεται. ἐὰν δὲ πάλιν εὑρεθῇ ὁ κλῆρος ἐν τῷ περὶ θανάτου τόπῳ, τουτέστι τῷ η', σὺν τῷ ἰδίῳ κυρίῳ ὑπὸ τῆς Σελήνης κεκακωμένης καθυπερτερούμενος, ἀσυντελὴς ἔσται πᾶσα καταρχή.

« Ἐπετήρησαν δὲ ἀκριβῶς εἰς πρόγνωσιν οἱ παλαιοὶ καὶ ἐκ τῆς ποσότητος τῶν μοιρῶν τοῦ ὡροσκόπου ὅπου ἔσται αὐτοῦ τὸ δωδεκατημόριον· εἰς ὃ γὰρ ἂν ἐκπέσῃ ζῴδιον ἐν τοῖς ἑξῆς ἀνὰ β' s'' μοίρας ἐκβαλλομένη ἡ ποσότης τῶν μοιρῶν τοῦ ὡροσκόπου, ἐκεῖνο ἔσται αὐτοῦ τὸ δωδεκατημόριον. καὶ τότε οὖν περὶ παντὸς πράγματος καὶ πρὸ τῆς πεύσεως συνιδεῖν ἐστι τὸ εἶδος. οὐ γάρ μόνον ὁρᾶν χρὴ αὐτὰ καθ' αὑτὰ εἰ ἔστι τροπικὰ ἢ στερεὰ ἢ δίσωμα, ἃ μάλιστα ἁρμόζει εἰς τὴν τῶν καταρχῶν λῆψιν, ἀλλὰ καὶ εἴπερ συμβαίνει τὸ δωδεκατημόριον ἐν τροπικῷ ἢ στερεῷ ἢ δισώμῳ δωδεκατημορίῳ· κεντροῦσθαι γὰρ καὶ ἀλλοιοῦσθαι τὴν φύσιν τοῦ ζῳδίου τῇ τῆς τοπικῆς δυνάμεως μοιρικῇ διακρίσει.

« Τὴν οὖν ποιότητα τῆς πεύσεως ἤτοι τοῦ πράγματος προειπεῖν δυνησόμεθα, ἐπὰν ἀκριβῶς λάβωμεν τὴν ὡροσκοποῦσαν μοῖραν ἐξ ὑδροσκοπίου ἢ ἀστρολάβου ἢ ἄλλου τινὸς ὡροσκοπίου, καὶ γνῶμεν τὸ δωδεκατημόριον, πρὸς αὐτὸ ἁρμοσόμεθα οὕτως.

« Ἐὰν οὖν εὑρεθῇ τὸ αον δωδεκατημόριον τοῦ Κριοῦ, τουτέστι β' s'' μοῖραι ὡροσκοποῦσαι ἐπὶ τοῦ ὡροσκόπου, τοὺς προσιόντας σημαίνει περὶ ἐλευθερίας ἢ ἀρχῆς ἐρωτᾶν· τὸ δὲ βον περὶ βίου ἢ οἴκου ἢ ζῴων ἢ ἀγροῦ ἢ γυναικὸς ἢ ἀστείων· τὸ δὲ γον <περὶ> ἐνέδρας ἢ κλέμματος ἢ δραπετ<ῶν>· τὸ δὲ δον <περὶ> κλοπῆς ἀργυρίου ἢ ἁρπαγῆς· τὸ δὲ εον περὶ οὐσίας ἢ ἀρχῆς καὶ τῶν ὁμοίων· τὸ ϛον [f. 168v] περὶ οἰκονομίας καὶ γυναικείου κόσμου· τὸ ζον περὶ ἐχθρῶν καὶ μάχης ἢ ἀπαιτήσεως ἢ κριτηρίου· τὸ ηον περὶ λαθραίου πράγματος καὶ ἀποκρύφου· τὸ θον περὶ ὁδοιπορίας ἢ μεταβάσεως ἢ πλοῦ· τὸ ιον περὶ ἐλπίδων ἢ συζυγίας ἢ ἁρμονίας· τὸ ιαον περὶ ἀποβολῆς ἢ κλέμματος ἢ ζημίας τινός τὸ τελευταῖον καὶ ιβον, ὅ ἐστιν Ἰχθύων, σημαίνει περὶ γυναικὸς ἢ γυναικείων διαφερόντων πραγμάτων ἢ τεθηλυμένων.

« Ταύρου δὲ τὸ μὲν αον δωδεκατημόριον σημαίνει περὶ πραγματείας καὶ ὅσα περὶ ζωὴν καὶ βρῶσιν· τὸ δὲ βον περὶ πραγμάτων αἰσχρῶν ἢ ἀφροδισίων ἢ τῶν ὁμοίων· τὸ δὲ γον περὶ κλοπῆς ἢ ἔργου τινὸς ἢ οἰκονομίας· τὸ δὲ δον περὶ ἔχθρας καὶ ἁρπαγῶν· τὸ εον περὶ συμφωνίας καὶ φιλίας καὶ καλοκαγαθίας· τὸ ϛον <ἐν> ἀμφιβολίᾳ καὶ δισταγμῷ περιπεπτωκέναι τὸν ἐρωτῶντα· τὸ ζον περὶ καμάτου καὶ μερίμνης καὶ

1 θανάτου] θανάτῳ cod.; corr. ex Heph. 6 β' s''] β' Heph. 13 δυνάμεως τοπικῇ διακρίσει A a. 19 In margine codicis : ἀπαρχή et sic deinceps ad quodque signum. 20 τοῦ ὡροσκ. προσ.] τῆς ὥρας τοὺς προδιδόντας A a. 22 ἀστείων προσώπων ἢ ὁμοίων A a. 29 Fort. transponere est : τὸ ιβον καὶ τελ., ut infra. σημαίνει] τυγχάνει Heph. 33 ὁμ. σημαίνει Heph. 34 Post συμφωνίας] add. Heph. καὶ ἀμεριμνίας. 35 ἐν add. ex Heph. 36 ἐρωτῶντα] σκεπτόμενον A a; σκεπομ. P.

στρατείας· τὸ ηον περὶ ὁδοιπορίας καὶ πλοῦ καὶ τῶν τοιούτων· τὸ θον περὶ συναλλαγῶν γυναικείων καὶ τῶν ὁμοίων· τὸ ιον περὶ διαπράσεως καὶ ἀποβολῆς καὶ κόπου· τὸ ιαον περὶ ἀφροδισίων· τὸ ιβον καὶ τελευταῖον, ὅπερ ἐστὶ Κριοῦ, περὶ ξένων ἢ ξενιτείας ἢ γεωργίας σημαίνει.

« Τῶν δὲ Διδύμων τὸ μὲν αον δωδεκατημόριον σημαίνει περὶ κοινωνίας καὶ πολιτικῶν πραγμάτων καὶ ὁμονοίας· τὸ βον περὶ ἀποβολῆς χρυσίου καὶ ἀργυρίου καὶ τῶν ὁμοίων κινητῶν· τὸ γον περὶ ἀποβολῆς καὶ ἀτυχίας· τὸ δον περὶ δανείσματος καὶ ἀποβολῆς καὶ ζημίας· τὸ εον περὶ πράγματος καὶ πράξεως· τὸ ϛον περὶ κλοπῆς τῶν ἀπὸ πυρὸς γεγονότων· τὸ ζον περὶ δραπετῶν διωγμοῦ καὶ ὁδοιπορίας καὶ τῶν τούτοις ὁμοίων· τὸ ηον περὶ ἐπωφελοῦς τέχνης καὶ ἰλαροῦ τινος πράγματος· τὸ θον περὶ λόγων καὶ πραγμάτων· τὸ ιον περὶ μάχης καὶ ἔχθρας καὶ τῶν ὁμοίων· τὸ ιαον <περὶ> ἀποβολῆς τινος ἢ φόβου ἢ μετανοίας καὶ ἀναλύσεως· τὸ δὲ ιβον καὶ τελευταῖον Ταύρου τυγχάνον περὶ γεωργίας ἢ ξενιτείας καὶ τῶν τούτοις παραπλησίων.

« Τὸ δὲ τοῦ Καρκίνου αον δωδεκατημόριον σημαίνει περὶ ἀρχῆς ἢ ἀρχιερωσύνης ἢ ἱερουργίας· τὸ βον περὶ μεγάλου πράγματος καὶ ἀξίας καὶ ἱερωσύνης· τὸ γον περὶ φόβου διὰ πρᾶγμά τι μετὰ γυναικὸς πραχθέν· τὸ δον περὶ πίστεως ἢ ἀποβολῆς ἢ ἀπαιτήσεως· τὸ εον περὶ λαθραίας ἀποθέσεως ἢ θησαυροῦ ἢ παρακαταθηκῶν· τὸ ϛον περὶ ὁδοιπορίας ἢ πλοῦ ἢ ξένων πραγμάτων· τὸ ζον περὶ μάχης διὰ πρόσωπον θηλυκὸν καὶ ζηλοτυπίας· τὸ ηον περὶ ἀποβολῆς ἢ κλεμμάτων ἢ ζημιῶν ἢ ἀρνήσεων· τὸ θον περὶ γάμου καὶ κοινωνίας πραγμάτων ἀγαθῶν ἕνεκα· τὸ ιον περὶ ἀρχῆς καὶ ἀξίας καὶ ἱερωσύνης καὶ τῶν τούτοις παραπλησίων· τὸ ιαον περὶ κλέμματος ἢ ἀποδράντος τινὸς ἢ ἀρνήσεως ἢ παρακαταθηκῶν· [f. 169r] τὸ ιβον καὶ τελευταῖον, ὅ ἐστι Διδύμων, περὶ κοινωνίας καὶ συμφωνίας πραγμάτων καὶ ἐζευγμένων.

« Τὸ δὲ τοῦ Λέοντος αον δωδεκατημόριον δηλοῖ περὶ ἀξίας καὶ ἐπιθυμίας ἀλλοτρίων ἢ πλεονεξίας· τὸ βον περὶ μεγάλου πράγματος καὶ ζημίας καὶ ἀδικίας· τὸ γον περὶ μάχης καὶ πλεονεξίας καὶ ἀμφιβολίας· τὸ δον περὶ μεγάλου πράγματος τελεσιουργίας· τὸ εον περὶ πράγματος οὐ μικροῦ, ἀλλὰ βασιλικοῦ ἢ περιστάσεως· τὸ ϛον περὶ κόπου τινὸς ἢ ἐργασιῶν ξένων ἢ προσόδου· τὸ ζον περὶ ἐχθρῶν καὶ τῶν ὁμοίων· τὸ ηον περὶ ἀλλοτρίου πράγματος ἢ ἀλλοτρίας μερίμνης· τὸ θον περὶ φόβου καὶ δισταγμοῦ· τὸ ιον περὶ λέσχης καὶ ἀγροικίας ἢ ξενιτείας· τὸ ιαον περὶ μάχης καὶ ἀπροσδοκήτων· τὸ ιβον καὶ τελευταῖον, ὅ ἐστι Καρκίνου, περὶ πραγμάτων τινῶν ἢ τοιουτοτρόπων τινῶν.

« Τὸ δὲ τῆς Παρθένου αον δωδεκατημόριον σημαίνει περὶ κόσμου γυναικείου καὶ καρπῶν· τὸ βον περὶ προσόδου ἢ κόσμου βαρυτίμου ἢ ἐσθῆτος· τὸ γον περὶ πράγματος λάθρα βεβουλευμένου· τὸ δον περὶ

6 ὁμονοίας] ὁμονυμίας (*sic*). 16 δωδεκατομορίων cod. Corr. ex Heph. 26-27 verba ὅ ἐστι Διδ. non habet Heph. 36-37 ὅ ἐστι Καρκ. non habet Heph. 39 καρπῶν χάριν A a; καρποῦ χ. P.

ἀφορμῶν ἀλλαγῆς ἢ κοινοῦ τινος πράγματος· τὸ εον περὶ γεωργίας ἢ οἰκονομίας ἢ τοιούτου τινός· τὸ ϛον περὶ προσώπου ἢ ἐλπίδων καὶ πράξεων καὶ κόπου· τὸ ζον περὶ ἔχθρας γυναικείας καὶ ἀψιμαχίας φίλων· τὸ ηον περὶ τέχνης ἢ ἱερᾶς ἐνεργείας ἢ χρηματισμῶν· τὸ θον περὶ φορτίου πράσεως ἢ καματερᾶς ξενιτείας· τὸ ιον περὶ ἐπηρείας τινὸς ἢ ξένης ἢ ἀγροικῆς αἰτίας· τὸ ιαον περὶ κλοπῆς ἢ πράγματος λαθραίου ἢ θησαυροῦ· τὸ ιβον καὶ τελευταῖον περὶ τραυμάτων ἢ ἀσθενείας ἢ τῶν ὁμοίων.

« Τὸ δὲ τοῦ Ζυγοῦ δωδεκατημόριον σημαίνει περὶ προσόδου ἢ κριτηρίου ἢ δόσεως ἢ λήψεως· τὸ βον περὶ κλέμματος ἢ νοσφισμοῦ· τὸ γον περὶ ἐμπορίας ἢ ἔργων ἐπὶ ξένης· τὸ δον περὶ πραγμάτων λαθραίων ἢ σκολιῶν· τὸ εον περὶ πραγματείας ἢ κακοπραγίας ἢ ἐλπίδων προσδοκίας· τὸ ϛον περὶ ἀλλοτρίου πράγματος ἢ ἐντολῆς γυναικός· τὸ ζον περὶ ἀηδίας ἀκαίρου καὶ ὀργῆς καὶ μάχης ἢ ἡσυχίας τινός· τὸ ηον περὶ ἀσθενείας καὶ τραυμάτων ἢ μερίμνης βασιλικῆς· τὸ θον περὶ κοινωνίας λόγων ἢ συνθηκῶν· τὸ ιον περὶ προσόδου ἢ ἀξίας ἢ τιμῆς ἢ εὐημερίας· τὸ ιαον περὶ ἀγνοίας τινὸς ἢ ὕβρεως αἰφνιδίου· τὸ ιβον περὶ σωμάτων ἢ φορτίου πολιτικοῦ.

« Τὸ δὲ τοῦ Σκορπίου αον δωδεκατημόριον σημαίνει περὶ στρατείας καὶ διατριβῆς ἐπὶ ξένης ἢ μίξεως αἰφνιδίου γεγονυίας· τὸ βον περὶ πλοῦ ἢ μεταβάσεως καὶ τῶν ὁμοίων· τὸ γον περὶ ὄχλου ἢ μάχης καὶ ἀηδίας ἐπικινδύνου· [f. 169v] τὸ δον περὶ κακοπραξίας ἢ ἀπολύσεως κινδύνου· τὸ εον περὶ ὁμονοίας ἢ πλοῦ ἢ κοινῶν πραγμάτων· τὸ ϛον περὶ ἐπιταγῆς καὶ κρατήσεως καὶ ἀδοκήτου βίας· τὸ ζον περί τινος ἐπὶ ξένης γεγονότος ἢ διὰ ξένα πρόσωπα· τὸ ηον περὶ ὁδοιπορίας· τὸ θον περὶ κλεμμάτων ἢ ἐξουσίας ἢ τῶν πρὸς ἰσχυρότερα πρόσωπα διαφερόντων· τὸ ιον περὶ ξενιτείας καὶ τέχνης τινὸς ἢ ἀξίας· τὸ ιαον περὶ κλέμματος γυναικείου· τὸ ιβον καὶ τελευταῖον περὶ προσόδου ἢ κινδύνου ἢ κέρδους ἁπλήστου.

« Τὸ δὲ τοῦ Τοξότου αον δωδεκατημόριον δηλοῖ περὶ φορτίου ἐπὶ ξένης· τὸ βον περὶ στρατιᾶς ἢ ξενιτείας ἢ στρατοπέδου· τὸ γον περὶ πραγμάτων καὶ πράξεων καθύγρων· τὸ δον περὶ πλοῦ καὶ τῶν ὁμοίων· τὸ εον περὶ φορτίου· τὸ ϛον περὶ στρατοπέδων· τὸ ζον περὶ ἀηδίας ἢ δραπέτου· τὸ ηον περὶ κλέμματος ἢ ἀποβολῆς· τὸ θον περὶ ὁδοῦ ἢ ἐνέδρας· τὸ ιον περὶ ἔρωτος ἢ τῶν ὁμοίων· τὸ ιαον περὶ προσόδου ἐπὶ ξένης ἢ διὰ ξένους· τὸ ιβον περὶ κλέμματος.

« Τὸ δὲ τοῦ Αἰγόκερω αον δωδεκατημόριον περὶ πραγμάτων οὐ καθαρῶν ἢ ἐφυβρίστων· τὸ βον περὶ δραπέτου ἢ ἀποβολῆς· τὸ γον περὶ

2 οἰκοδομῆς A a; οἰκοδομῶν F. F. l. οἰκοδομίας ut infra, p. 116, 2. 4 ἱερῶν Heph. 9 ὑποσημαίνει Heph. 11 ἔργων] γεωργιῶν τῶν Heph. 16 προσόδους cod.; corr. ex Heph. 18 Fort. suppl. τὸ ιβον <καὶ τελευταῖον>. Item infra, v. 36. Haec autem om. etiam Heph. 21 καὶ prius] ἢ Heph. 31 στρατείας A a, f. mel. 33 στρατοπέδων] τετραπόδων Heph., f. mel.

ἔρωτος ἢ πλοῦ· τὸ δον περὶ προβάτων ἢ ἱματίων· τὸ εον περὶ γεωργίας ἢ οἰκοδομίας· τὸ ϛον περὶ πραγμάτων ἄλλοις διαφερόντων· τὸ ζον περὶ κλέμματος ἢ ἀηδίας· τὸ ηον περὶ φόβου ἢ στρατείας· τὸ θον περὶ τέχνης ἢ κόσμου γυναικείου· τὸ ιον περὶ προσόδου ἢ ἀηδίας· τὸ ιαον περὶ πράγματος λάθρα γεγονότος· τὸ ιβον καὶ τελευταῖον περὶ πράγματος γεγονότος ἢ πλοῦ.

« Τοῦ δὲ Ὑδροχόου τὸ αον δωδεκατημόριον σημαίνει περὶ σωμάτων· τὸ βον περὶ καθύγρων πραγμάτων καὶ φορτίου· τὸ γον περὶ λέσχης τινός· τὸ δον περὶ κόπων ἰδίων· τὸ εον περὶ κοινωνίας ἢ καθύγρων πραγμάτων· τὸ ϛον περὶ κλέμματος ἢ ἀηδίας αἰφνιδίου· τὸ ζον περὶ τέχνης ἢ κοινωνίας· τὸ ηον περὶ ἀγοραίου ἢ πανηγύρεώς τινος· τὸ θον περὶ προσόδων ἢ κόσμου καὶ δικαίου τινὸς πράγματος ἢ ἐπὶ ξένης ὄντος· τὸ ιον περὶ κλοπῆς ἢ θησαυροῦ· τὸ ιαον περὶ πλοῦ ἢ καθύγρων πραγμάτων· τὸ ιβον καὶ τελευταῖον περὶ ἀλλοτρίων πραγμάτων ἢ πίστεων γυναικείων.

« Τὸ δὲ τῶν Ἰχθύων αον δωδεκατημόριον σημαίνει περὶ βεβλαμμένων πραγμάτων ἢ παρύγρων· τὸ δὲ βον περὶ κόσμου ἢ συζεύξεως· τὸ γον περὶ τῶν λάθρα τι πράσσειν ἐπιχειρούντων ἢ γυναικείου πράγματος· τὸ δον περὶ κόπου ἢ κοινωνίας ἢ ξένου πράγματος· τὸ εον περὶ φορτίου ἢ γάμου· τὸ ϛον περὶ φορτίου ἀλλοτρίου· τὸ ζον περὶ γυναικείας τέχνης καὶ τῶν ὁμοίων [f. 170r] τῶν εἰς γυναῖκα ἀναφερομένων· τὸ ηον περὶ ἀλλοτρίων πραγμάτων· τὸ θον περὶ προσόδων καὶ καλοῦ πράγματος· τὸ ιον περὶ πλοῦ ἢ ξενιτείας τινὸς ἀγαθῆς· τὸ ιαον περὶ γυναικείου πράγματος ἢ γυναικὶ διαφέροντος· τὸ ιβον καὶ τελευταῖον περὶ ἀποβολῆς ἢ δραπετῶν καὶ τῶν ὁμοίων.

[F. 171r.] Hephaest., III, 5. Ἔτι περὶ καθολικῶν καταρχῶν.

Edidit Olivieri, *Studi Italiani di filologia classica,* VI, 1898, p. 12-22, 19, ex Laurentiano 28, 34 (L) et 28, 13 (L′).

[F. 174v.] Hephaest., III, 6. Περὶ ἐμπράκτων ἡμερῶν καὶ ὡρῶν.

P. 23, l. 20 Olivieri (Post πρὸς Σελήνην) L′ : τὰ κατὰ τὴν οἰκείαν οἰκείως ἐργάζονται δύναμιν[1]. Parisinus : ταύτην τὴν οἰκείαν οἰκείως ἐργάζονται δύναμιν. Addit Parisinus post προειρημένων (ita P, εἰρημένων L′, cod. noster) : Λέγουσιν οἱ περὶ Πετόσιριν ὅτι ἐν ᾧ ζῳδίῳ εὑρίσκεται ἡ Σελήνη ἐν τῇ σπορᾷ, τοῦτο ὡροσκοπήσει ἐν τῇ ἐκτέξει· ὅπου δὲ ἐν τῇ ἐκτέξει παροδεύει, τοῦτο ὡροσκοπεῖ ἐν τῇ σπορᾷ.

1 προβάτων οἰκονομίας Heph. 2 ἄλλως cod. Corr. ex Heph. 5-6 περὶ πράγματος ἢ γεγονότος Heph. 7 σημαίνει] ἀποδείκνυσι P, ἀποδεικνύσει A *a*. σωμάτων χάριν A *a*. 12 προσόδου *a*. 24 σημαίνει περὶ ἀποβολῆς Heph.

[1] Olivieri : « τριγώνου Δ^{υ} », at legendum erat δύναμιν.

[F. 175v.] Hephaest., III, 30. Περὶ ἀποδημίας[1].

Ὁ μέλλων ἀποδημεῖν ἐκ τοῦ ὡροσκόπου κριθήσεται· ὁ δὲ τόπος ἔνθα μέλλει ἀπέρχεσθαι ἐκ τοῦ δύνοντος· ἡ δὲ πρᾶξις ἐκ τοῦ μεσουρανίου· [f. 176r] τὸ δὲ συμπέρασμα τῆς ἀποδημίας ἐκ τοῦ ὑπογείου. « ἐπιζήτει οὖν τοὺς ἀγαθοποιοὺς τῶν ἀστέρων ποίαν στάσιν ἔχουσι καὶ πῶς σχηματίζονται. καθόλου τοιγαροῦν ἀγαθόν ἐστιν ἀποδημεῖν μήτε τινὸς τῶν ἀστέρων στηρίζοντος, μηδὲ συσχηματιζομένου τῇ Σελήνῃ· συμφορώτατον δὲ ἀποδημεῖν τῆς Σελήνης αὐξιφωτούσης καὶ προστιθείσης τοῖς ἀριθμοῖς κατά τε μῆκος καὶ πλάτος. παραφυλάσσειν δὲ χρὴ τὰ κέντρα· καὶ ἐν μὲν τῷ ὡροσκόπῳ ἀγαθοποιῶν ἀστέρων ὄντων ἢ καὶ μαρτυρούντων αὐτῶν ἥδιστα τὰ τῆς ὁδοῦ ἢ τοῦ πλοῦ ἔσται. συνόντος δὲ τοῦ τοῦ Ἑρμοῦ αὐτοῖς, καὶ ἐπὶ ἑῴας ἀνατολῆς ταχέως καὶ εὐθύμως πράξει τις, ὑπὲρ ὧν τὴν ἀποδημίαν ποιεῖται.

« Καθόλου γὰρ ἐπὶ ἀποδημίας τὸν Ἑρμῆν σκοπεῖν δεῖ μὴ ἀφαιρεθῇ ἢ ὕπαυγος ᾖ, ἢ ὑπὸ κακοποιῶν βλάπτηται καθ' οἱονδήποτε σχῆμα. καὶ ὅτε δέ τις μέλλει εἰς πλοῖον εἰσιέναι ἢ δι' ὁδοῦ πορεύεσθαι, τὸν Ἑρμῆν δεῖ παρατηρεῖσθαι· καὶ ὡσαύτως ὅτε μέλλει ἐπανάγεσθαι ἢ ὁδοιπορῶν ἢ διὰ πλοίου· ἐν δὲ τῷ δυτικῷ τυχόντος τοῦ Ἑρμοῦ καὶ μαρτυρουμένου ὑπὸ Διὸς ἢ Ἀφροδίτης, βελτίω καὶ ἐπικερδῆ τὰ τῆς ἀποδημίας ἔσται καὶ ἀξιόλογα. Ἄρεως δὲ καὶ Κρόνου ἐπὶ τοῦ δύνοντος ὄντων ἢ μαρτυρούντων αὐτῷ ἀσθένειαι σωματικαὶ καὶ ἐμποδισμοὶ καὶ ζημίαι γενήσονται ἐν τῇ ἀποδημίᾳ. ἐκ δὲ τῶν θεωρούντων ἀστέρων τὸ μεσουράνημα ἢ ἐπόντων αὐτῷ τὸ πρᾶγμα οὗ χάριν ἡ ἐκδημία γίνεται γνωρισθήσεται· τὸ δὲ τέλος ἐκ τοῦ ὑπογείου. τὸ κῦρος δὲ πάντων ἐκ τῶν συσχηματισμῶν μάλιστα τῆς Σελήνης τελειοῦται, ἣν ἀπαγορευτέον πρὸς τὰς ἐξόδους κακοδαιμονοῦσιν ἢ κακοτυχοῦσαν· οὐ μόνον γὰρ δυσπραξίας αἰτία, ἀλλὰ καὶ πτωμάτων ὑπουργός. »

Οἱ οὖν ἀγαθοποιοὶ ὡροσκοποῦντες ἐν πᾶσιν τὴν καταρχὴν καλὴν ποιοῦσιν· οἱ δὲ ἀγαθοποιοὶ ἐν τῷ δύνοντι ὄντες ἐν ταῖς ἀποδημίαις ἐπικερδῆ καὶ ἐπίδοξον τὴν ἀποδημίαν μαντεύονται εἶναι.

Σκοπεῖν δὲ δεῖ καὶ τὸν κύριον τῆς Σελήνης καὶ τὸν κύριον τοῦ

14 αὐτῷ, f. mel. 16 ἀθύμως. 19 τις μέλλει - πορεύεσθαι] μέλλεις εἰς πόλιν εἰσιέναι ἢ ἀπὸ πλοίου ἐξιέναι. 31 F. suppl. οἱ <μὲν> οὖν.

[1] Hoc Hephaestionis capite Dorothei versus 211-295 continentur. Vid. Kroll, *Catal. Vindob.*, p. 108 ss. — Inde ab h. l. codicis unici P lectiones varias iterum nominare supersedeo.

ὡροσκόπου, ἵνα μὴ κακὰς φάσεις ποιῶνται, τουτέστι στηριγμοὺς ἢ ἀναποδισμοὺς ἢ δύσεις· στηρίζοντες γὰρ χρόνου πολλοῦ καὶ βραδύτητος αἴτιοι γίνονται, οἱ δὲ ὕπαυγοι ἀμαυρὰς τὰς πράξεις ποιοῦσιν.

« Ἐκ καθολικῆς δὲ παρατηρήσεως κατείληπται ἡ Σελήνη ἐν τῷ δυτικῷ κέντρῳ τυχοῦσα ἢ ἐν τῷ ἀποκλίματι αὐτοῦ μακρὰς παρέχειν τὰς ἀποδημίας, τοῖς δ' ἀπὸ ξένης εἰς τὰ οἰκεῖα ἐπανερχομένοις τὸ αὐτὸ τοῦτο σχῆμα τῆς Σελήνης ταχείας τὰς ἀναστροφὰς δηλοῖ.

« Παραφυλάσσεσθαι δὲ δεῖ καὶ τοὺς κακοποιοὺς τετραγωνίζοντας τὴν Σελήνην ἢ διαμετροῦντας αὐτήν. τῶν δὲ ἀγαθοποιῶν ἀνακραθέντων αὐτοῖς ἀνώμαλον καὶ ἀμφήριστον [f. 176v] τὸ τῆς ἀποδημίας δηλοῖ. ἐπισκοπήσαντα δὲ τὰ κέντρα ἐφορᾶν χρὴ τοὺς μέλλοντας τῶν ἀστέρων ἐκβαίνειν ἀφ' ὧν εἰσι ζῳδίων· οὕτως γὰρ αἵ τε ἔξοδοι καὶ αἱ ἀποδημίαι γνωσθήσονται καὶ αἱ ἐπανελεύσεις ἐκ τοῦ ἐπισκοπεῖν πότερον ἐξ ἀλλοτρίου εἰς ἴδιον οἶκον ἢ ὕψωμα μεταβαίνουσιν, ἢ ἔμπαλιν. ἐκ τούτου γὰρ καταφανὲς ἔσται τὸ τῆς ὑποστροφῆς καὶ ἐπανελεύσεως· καὶ οἱ μὲν στηριγμοὶ τὰς ἐπιμονὰς δηλοῦσι καὶ βραδύτητας, ὥσπερ αἱ δύσεις θάνατους ἢ τελείας ἀπραγίας, αἱ δ' ἀνατολαὶ ταχίστας ποιοῦσι τὰς ἐπιδημίας, δηλαδὴ τῶν τῆς Σελήνης σχηματισμῶν καὶ τῶν κέντρων τῆς καταρχῆς μαρτυρίας ἐχόντων καὶ λόγον πρὸς τοὺς προειρημένους.

« Ἐπιτηρητέον δὲ μάλιστα τὴν Σελήνην διαμετροῦσαν τὰ κάθυγρα τῶν ζῳδίων ἢ καὶ ἐποῦσαν καὶ ὑπὸ κακοποιῶν θεωρουμένην κατὰ τὰ κραταιὰ τούτων σχήματα, τουτέστι τὰ τετράγωνα καὶ διάμετρα· χαλεπώταται γὰρ αἱ τοιαῦται καταρχαὶ ταῖς τε ναυσὶ καὶ τοῖς πλέουσιν. ἐπὰν δὲ ἡ Σελήνη μὲν κακωθῇ, τὰ δὲ κάθυγρα τῶν ζῳδίων ὑπὸ τῶν ἀγαθοποιῶν μαρτυρῶνται, ἄφθαρτον μὲν τὸ σκάφος οὐ φθαρήσεται, οἱ πολλοὶ δὲ τῶν ἐμπλεόντων σωθήσονται διαλυθέντος τοῦ σκάφους, καὶ τακτοῖς ἕκαστος ἐπανελεύσεται χρόνοις οἰκείως κατὰ τὴν τῆς ἐπιβάσεως εἰς τὴν ναῦν σύγκρισιν. ἡ μὲν γὰρ ἀναγωγὴ τὰ κατὰ τὴν ναῦν καὶ τὸν πλοῦν σημαίνει, τὰ δὲ καθ' ἕνα ἕκαστον τῶν ἐμπλεόντων ἡ εἰς τὴν ναῦν ἑκάστην ἐπίβασις τῷ τάχει τῆς μεταπτώσεως τῶν κέντρων ἀλλοιοῦσα τὰ πράγματα. ἐπὶ δὲ τῶν ὁδευόντων ὁμοίως τὰ χερσαῖα καὶ τετράποδα τῶν ζῳδίων ἐπισκοπεῖν χρή.

« Ἐπίμονα δ' ἔσται πολλῷ μᾶλλον τὰ κακὰ ὁπόταν οἱ κακοποιοὶ ἐν αὐτοῖς στηρίζωσι μετὰ τοῦ καὶ παλινδρομιῶν τινων ἢ νόσων ποιεῖν πειρασθῆναι. κυρίως δὲ τοῖς πλέουσι κοινῶς ὅ τε ὡροσκόπος καὶ ἡ Σελήνη χωρὶς τῶν ε' πλανήτων οὕτως τυχοῦσα σύμφορός ἐστιν· ἐν μὲν γὰρ Διδύμοις συνοίσει εἰ καὶ βραδέα ἔσται τὰ κατὰ τὸν πλοῦν, καὶ ἐν Καρκίνῳ δὲ καὶ ἐν Αἰγόκερῳ καὶ ἐν Ὑδροχόῳ καὶ Ἰχθύσιν, ἀσύμφορον δὲ ἐν Κριῷ οὐ μόνον πλοῦ, ἀλλὰ καὶ ὁδοιπορίας κατάρχεσθαι.

« Ὁ δὲ Δωρόθεος οὐ δέχεται τοῦτο· διὸ προσεκτέον· παρατηρη-

12 ἀφ' ὧν εἰσι ζῳδίων] ἐν οἷς εἰσι ζῳδίοις. F. l. ἐφ' ὧν ε. ζ. 13 γνωσθήσονται] μηνυθήσονται. 25 ἄφθαρτον] αὐτανδρον, mel.

τέον δὲ καὶ ἐν Ταύρῳ καὶ ἐν Λέοντι τοὺς μὴ ἐκ τῆς ἰδίας ἐκδημοῦντας· μὴ ἔστω δὲ ἡ Σελήνη ληξίφωτος, μηδ' ἐν συνόδῳ μετὰ Κρόνου, ἢ ἐν πανσελήνῳ μετὰ Ἄρεως· τὰς δὲ πορείας ποιεῖσθαι ἐν Κριῷ σύμφορον αὐτοῖς· ταχέως γὰρ ἡ ὑποστροφὴ γίνεται· συνοίσει δὲ καὶ ἐξ ἀποδημίας εἰς τὰ οἰκεῖα ἐπανιέναι οἴκοι ἐν Διδύμοις· ἀπὸ δὲ ξένης ἐπανιέναι εἰς τὰ οἰκεῖα συνοίσει κατάρχεσθαι ἐν Καρκίνῳ, ὥσπερ καὶ ἐν Διδύμοις, φυλάττεσθαι δὲ ἐν Λέοντι τὸ ἀποδημεῖν εἴσω τῶν ιε' μοιρῶν. ἀπὸ δὲ μοίρας ιε' ἕως λ', ἧττον κακόν. ἐν δὲ Σκορπίῳ τὸ ὁδοιπορεῖν καὶ εἰς τὰ ἴδια [f. 177r] ἐπανιέναι σύμφορον· ἀνάρμοστον δὲ ἐν Τοξότῃ, πλάνη γάρ τις ἔσται· ἐπανελθεῖν δὲ εἰς τὰ οἰκεῖα καλόν· ὁμοίως ἐν Αἰγόκερῳ καὶ ἐν Ὑδροχόῳ· ἐν Παρθένῳ καλὸν εἰς τὰ οἰκεῖα ἐπανιέναι· ἐν δὲ Ζυγῷ μετὰ τὰς πρώτας μοίρας καλόν· ἐν Ἰχθύσι σύμφορον τὸ εἰς πόλεμον ἐξιέναι [1].

« Χρὴ οὖν ἐπιλεξάμενον τὸ ἁρμόζον ζῴδιον τῇ ἀποδημίᾳ ὁρᾶν εἰ ἐφαρμόζει αὐτῷ ἡ τῶν ἀγαθῶν μαρτυρία πρὸς αὐτό τε καὶ τὰ κέντρα, καὶ οὕτως κατάρχεσθαι. ἐπετήρησαν δὲ μερικῶς τὰ κατὰ τὸν πλοῦν ἢ τὴν ὁδὸν συμβαίνοντα, καὶ ἐπέγνωσαν οὕτως. συναγαγόντες γὰρ τὰ σημεῖα τῆς πορείας ἢ τοῦ πλοῦ τὰ στάδια, καὶ μερίσαντες εἰς ς' μερίδας ὡς ἑκάστῳ τῶν ζῳδίων ἀπὸ τοῦ ἀνατέλλοντος ἄχρι τοῦ δύνοντος ἐπιβάλλειν μερίδα α', ἀπονέμουσι τῷ ὡροσκόπῳ τὴν αην, ἵνα σημαίνῃ τὸ αον ἕκτη μερὶς τοῦ διαστήματος τῆς ὁδοῦ· τὴν δὲ βαν μερίδα τῷ κακοδαιμονήματι καὶ ἑξῆς ἐπὶ τὰ προηγούμενα ἕκαστον ἑκτημόριον ἑκάστῳ τόπῳ διδόασι· τὴν δὲ τελευταίαν ὁμοίως τῷ δύνοντι δηλοῦντι τὸ κατάλυμα καὶ τὰ τελευταῖα τῆς ὁδοῦ. ἔπειτα τὴν τῶν ἄστρων κοινωνίαν πρὸς ἕκαστον τόπον ἐπιζητοῦσι· τῶν μὲν γὰρ ἀγαθοποιῶν μαρτυρούντων ἀγαθὰ καὶ εὐόδωσιν μηνυτέον· τῶν δὲ κακοποιῶν ὁμοίως τοὐναντίον, τῶν στηριγμῶν καὶ ἀναποδισμῶν <δηλούντων> κατοχὴν καὶ ἐμποδισμοὺς καὶ δυσχερείας ἐν τοῖς τόποις ἐν οἷς ἀναλόγως πρὸς τὰ ἑκτημόρια συμβαίνει τῷ πλῷ ἤτοι ὁδοιπορίᾳ τὰ συναντήματα, τοῦ μὲν Ἄρεως ναυαγίου αἰτίου ὑπάρχοντος, καὶ μάλιστα εἰ τὸ μεσουρανήμα βλάπτεται ὑπ' αὐτοῦ.

« Καὶ ταῦτα μὲν ὁ Νικαεὺς (*sic*) Πρωταγόρας [2]» · ὁ δὲ Δωρόθεος περὶ ἀναγωγῆς καὶ πλοῦ οὕτω λέγει· [3] » Σελήνη ὑπὸ γῆν οὖσα ἀμαρτύρητος ὑπό τινος τῶν ε' πλανωμένων καθ' αὑτὴν μόνη ὁρωμένη, ἐν μὲν

3 ἐν Ταύρῳ. 12 μετὰ τὴν αην μοῖραν. 15 ἀγαθοποιῶν. 16 κατέρχεσθαι. 19 ὡς] ἔδωκαν. 22-23 Verba ἐπὶ διδόασι non habet Heph. 25 τόπον] ζῴδιον. ἐπιζητοῦσι] διαιρεῖν. 26 εὐοδίαν. 27 δηλούντων add. ex Heph. 28 ἀναποδισμούς. 29 τοῦ πλοῦ ἢ τῆς ὁδοῦ. 31 εἰ τὸ μεσ. - ὑπ' αὐτοῦ] τοῦ κατὰ κορυφὴν τόπου βλαπτομένου παρ' αὐτοῦ.

[1] In Heph. deest ὁ Κριός, et signorum solemnis ordo servatur.
[2] De Protagora Nicaeensi, cf. *Catal.* IV, p. 150, n. 1.
[3] Versus Dorothei ed. Kroll, *Catal.* VI, p. 109.

Κριῷ οὖσα ἀπὸ μοίρας ιαης ἕως τέλους εὔπλοιαν δηλοῖ· ἐν δὲ Ταύρῳ μεγάλους χειμῶνας ποιεῖ τοῖς ἀναχθεῖσιν. ἐὰν δὲ καὶ ὑπὸ κακοποιῶν μαρτύρηται, χεῖρον· εἰς κακὸν γὰρ τέλος καταντῶσι. Σελήνης ἐν Διδύμοις οὔσης ἀπὸ μοίρας η' ἕως μοῖραν λ', ὁ ἀναχθεὶς χρονίσει μὲν ἐν τῷ πλεῖν, ἐπιχαρῶς δὲ διάξει. Σελήνης ἐν Καρκίνῳ, ὁ ἀναχθεὶς γαλήναις μὲν πολλαῖς συσχεθήσεται, ἀλλὰ διασωθήσεται. Σελήνης ἐν Λέοντι, ὁ ἀναχθεὶς κινδυνεύσει ἐν τῇ θαλάσσῃ· ἐὰν δὲ καὶ ὑπὸ κακοποιῶν μαρτύρηται, πολλαπλασιασθήσεται τὰ κακά. Σελήνης ἐν Παρθένῳ, ὁ ἀναχθεὶς χρονίσει ἐν τῷ πλῷ ὑπὸ δυσπλοίας. Σελήνης ἐν Ζυγῷ μετὰ τὰς πρώτας μοίρας ι', ὁ ἀναχθεὶς καὶ εὐπλοήσει καὶ καλῶς εἰς πάντα διάξει. Σελήνης ἐν Σκορπίῳ, ὁ ἀναχθεὶς ἀσφαλὴς μὲν ἔσται κατὰ τὸν πλοῦν, τὴν δὲ ψυχὴν ταραχθήσεται. Σελήνης ἐν Τοξότῃ, ὁ ἀναχθεὶς δυσπλοήσει διὰ χειμῶνας καὶ φόβοις συμπεσεῖται. Σελήνης ἐν Αἰγόκερῳ μετὰ μοίρας θ', ὁ ἀναχθεὶς εὐπλοήσει μέν, ταρα|[f. 177v]χθήσεται δὲ τὴν ψυχήν. Σελήνης ἐν Ὑδροχόῳ, ὁ ἀναχθεὶς βραδυπλοήσει μέν, σωθήσεται δέ. Σελήνης ἐν Ἰχθύσι, ὁ ἀναχθεὶς κινδυνεύσει, καὶ μάλιστα θεωροῦντος Ἄρεως.

Τὰ δὲ κατὰ τὴν ναῦν σκέπτου οὕτως. Σελήνη ὑπὲρ γῆν οὖσα μετὰ Κρόνου στηριγμὸν ποιοῦντος τοῖς ἀναγομένοις πολλῶν κακῶν αἰτία γίνεται· ὑπὸ γὰρ χειμώνων δυσπλοήσουσι χαλεπῶς, καὶ ὅσοι τὴν κατὰ γένεσιν εἱρμαμένην ἔλαχον ἐν ὕδασι διαφθαρῆναι καὶ τὰ ἔτη συμπεραίνουσι πνιγήσονται ἐν τῇ θαλάσσῃ. Σελήνης ὑπὲρ γῆν τριγωνιζομένης ὑπὸ τοῦ Κρόνου στηρίζοντος, οἱ ἀναχθέντες διὰ χειμῶνας μεγάλους τῶν ἀγωγίμων τινὰ ἀποβαλλόμενοι σωθήσονται μόλις. ἐὰν δὲ τὰ μὲν ἄλλα τὰ αὐτὰ ἔχῃ ἡ Σελήνη, ὁ δὲ Κρόνος μὴ στηρίζῃ, ἐλαφρότερα τὰ κακὰ γίνεται, πλὴν καὶ οὕτω δύσπλοια ἔσται. ἐὰν δὲ τῶν ἄλλων οὕτως ἐχόντων ὁ Ἑρμῆς τὴν Σελήνη κακώσῃ, μείζονα τὰ κακὰ ἔσται, ἔσθ' ὅτε δὲ καὶ ληισταῖς περιπίπτουσιν. ἀγαθοποιὸς δὲ ὁρῶν τὰ τοιαῦτα σχήματα, καὶ μάλιστα δεξιός, ἐπικουφίζει τὰ κακά. Κρόνος ὡροσκοπῶν ἄνευ τῆς Σελήνης τοσαῦτα κακὰ τοῖς ἀναγομένοις ἐπάγει, ὁπόσα καὶ ὧν μετὰ Σελήνης εἴρηται ἐπάγειν. ἐὰν δὲ τύχῃ ὁ Κρόνος τοῦ ἀναγομένου, ὁ κατὰ πάροδον τῷ κατὰ πῆξιν Κρόνῳ ἤτοι συνὼν ἢ τριγωνίζων ἢ τετραγωνίζων ἢ διαμετρῶν, τότε χείρω γίνεται τὰ κακά· ὅσα δὲ εἴρηται συμβαίνειν ἀπὸ τοῦ Κρόνου τοῖς ἀναγομένοις κακά, τοσαῦτα καὶ ἀπὸ Ἄρεως γίνεται, τῆς Σελήνης δηλονότι ὑπὲρ γῆν ὑποκειμένης, καὶ οὐ μόνον ταῦτα, ἀλλὰ καὶ μίση καὶ μάχαι καὶ θόρυβοι ἐν τοῖς ἀναγομένοις γίνονται, ὥστε καὶ ἕως αἱματμοῦ φθάσαι τὴν κάκωσιν. ἐὰν δὲ καὶ ὁ Ἑρμῆς συγκακώσῃ, χείρονα γίνονται· ἐὰν δὲ ἀγαθοποιοὶ ὁρῶσιν, ἐλαττοῦνται τὰ κακά. ἐὰν τὴν Σελήνην ὁ Κρόνος καὶ ὁ Ἄρης καὶ ὁ Ἑρμῆς βλάπτωσιν ἤτοι συνοδεύοντες ἀλλήλοις καὶ τῇ Σελήνῃ, ἢ ἄλλος ἄλλοθεν ὁρῶν βλάπτῃ, κάκιστον σημαίνει τοῖς ἀναγομένοις, καὶ

1 ιαης] αης malim. Cf. Dorothei versus 234.

ὁ θάνατος αὐτῶν πάντων ἐλεύσεται τῶν πλεόντων. τὸ δὲ αὐτὸ γίνεται καὶ ὅταν ὁ Ἑρμῆς συνοδεύῃ τῷ Ἄρει· Κρόνος καὶ Ἄρης, ὁ μὲν Ἥλιον, ὁ δὲ Σελήνην βλάπτων κίνδυνον τοῖς ἀναγομένοις ἐπάγει· Σελήνη ὑπὲρ γῆν τετραγωνιζομένη ὑπὸ Διὸς ἀγαθὸν τοῖς ἀναχθεῖσι· καὶ γὰρ εὐπλοήσουσι καὶ εὖ πράξουσιν ὅσα ἂν ἐλπίσωσιν. ἐὰν δὲ καὶ ἡ Ἀφροδίτη μετὰ τοῦ Διὸς τὴν Σελήνην ἴδῃ οὕτως ἤτοι ἐκ τοῦ αὐτοῦ ζῳδίου ἢ ἐκ διαφόρου, ἔτι βέλτιον. ὁ δὲ Ἑρμῆς τὰς τῶν ἀστέρων δόσεις ἤτοι ἀγαθὰς ἤτοι κακὰς ἐπιτείνει καὶ ἐπαύξει οἷς ἂν συνοικειωθείη· ἀλλὰ καὶ Ἀφροδίτη μόνη τὴν Σελήνην ὁρῶσα ὠφελεῖ τοὺς ἀναγομένους εἰς εὔπλοιαν καὶ εἰς γυναικῶν μίξεις, ἀλλὰ χωρὶς Διός, ἧττον ὠφελεῖ, μετὰ δὲ Διὸς μᾶλλον καὶ βεβαιότερον ἡ Ἀφροδίτη ὠφελεῖ. Ἀφροδίτη ὕπαυγος ὑπὸ γῆν οὖσα μετὰ Σελήνης εὐδίας καὶ νηνεμίας παρέχει· διὸ καὶ χρονίζουσιν [f. 178r] οἱ ἀναγόμενοι ἐν τῷ πλῷ. ἐὰν οἱ β' ἀγαθοποιοὶ μετὰ τοῦ Ἑρμοῦ μαρτυρήσωσι τῷ Ἡλίῳ καὶ τῇ Σελήνῃ, καλλίστη καταρχὴ τοῖς ἀναγομένοις καὶ μάλιστα εὐπλοήσουσιν· ἐὰν δ' οἱ μὲν κακοποιοὶ τὸν ὡροσκόπον βλάπτωσιν, οἱ δ' ἀγαθοποιοὶ τὴν Σελήνην, ἢ καὶ ἔμπαλιν, δυσπλοήσουσι μὲν οἱ ἀναχθέντες, σωθήσονται δέ. Σελήνη ἀμαρτύρητος [1] οὖσα ὑπὸ πάντων τῶν ἀστέρων καὶ κενοδρομοῦσα, τοῦ ὡροσκόπου ἐν ζῳδίῳ πρὸς τὸ πλεῖν ἐπιτηδειότητα ἔχοντι, οἷον ἐν Ταύρῳ, Διδύμοις, Καρκίνῳ, Παρθένῳ, Τοξότῃ, Αἰγόκερῳ, Ἰχθύσι μετά τινος τῶν ἀγαθοποιῶν τυχόντος, ἀγαθὸν τοῖς ἀναγομένοις. Σελήνη καὶ ὡροσκόποι ἀμαρτύρητοι ὑπὸ πάντων τῶν ἀστέρων κενοδρομούντων, ἐὰν ἐν τοῖς πρὸς τὸ πλεῖν ἐπιτηδείοις ζῳδίοις τύχωσιν, οὐκ ἔστι κακὸν τοῖς ἀναχθεῖσιν. ἐξαιρέτερον δὲ χρὴ τὴν Σελήνην ὁρᾶν, ἵνα μὴ βλάπτηται καθ' οἱονδήποτε τῶν ἐκκειμένων τρόπων.

Τότε δὲ λογίζου τὴν τοῦ πλοῦ καταρχήν, ὅταν οἱ ναῦται τὴν ἄγκυραν ἐκ τῆς ψαμμοῦ ἑλκύσωσιν, ἑκάστου δὲ τῶν ἐμπλεόντων ἡ καταρχὴ τότε ἐστὶν ἡνίκα τὸν πόδα εἴσω τῆς νηὸς θῇ. εἰ δὲ βούλει μαθεῖν εἰ βραδυνεῖ ἐπὶ τῆς ξένης ἢ οὔ, ὅταν ἐπιβῇ τῆς πόλεως ἐκείνης πρὸς ἣν σπεύδει, σκόπει τὸν βον τόπον τοῦ ὡροσκόπου τῆς εἰς τὴν πόλιν εἰσόδου καὶ τὸν τούτου κύριον· καὶ εἰ μὲν ἀναποδίζει οὗτος, ταχέως ἐξελεύσεται κενὸς καὶ ἄπρακτος· εἰ δὲ στηρίζει, καὶ οὕτως πάλιν ἄπρακτος ἔσται, ἅμα δὲ καὶ χρονοτριβήσει ἐν τῇ πόλει· καὶ τούτων ὄντων, ἐὰν μὲν ὁ αὐτὸς οἰκοδεσπότης τύχῃ δύνων, νόσων καὶ ἀηδίας αἴτιος γίνεται τῷ εἰσιόντι. ἐὰν δὲ τύχῃ ἐν τῷ ὑπογείῳ, σκέπτου μὴ καὶ θανάτου αἴτιος γίνηται. ἐὰν δὲ εὑρεθῇ προσθετικὸς καὶ ὢν ἐπὶ τοῦ ὡροσκόπου ἢ ἐπὶ τοῦ μεσουρανήματος εὖ πράξας, ταχέως ἐξελεύσεται.

32-33 ἀναποδίσει et στηρίσει malim.

[1] Hoc loco lacuna in textu Hephaestioneo existere videtur, cuius finis ex Parisino suppletur.

Σκέπτου δὲ καὶ τὸν Ἥλιον τῆς ἐξόδου καὶ τὰ τούτου τετραγώνα καὶ διάμετρα· καὶ εἰ μὲν ἀγαθοποιοὶ εἶεν ἐν τούτοις, ἡ ἐπάνοδος ταχεῖα καὶ καλὴ ἔσται· εἰ δὲ κακοποιοί, σκόπει πότε ἀλλάξουσι τοὺς τόπους, καὶ ἀντ' αὐτῶν ἀγαθοποιοὶ εἰσελεύσονται, καὶ τότε τὴν ἐπάνοδον ὑπονοητέον, ἢ ὅτε ἀποκαθίσταται ὁ Ἥλιος εἰς τὰ ἴδια τετράγωνα καὶ διάμετρα· καὶ τὴν Σελήνην δὲ ὁμοίως τῷ Ἡλίῳ σκέπτου.

Δεῖ δὲ καὶ τοῦτο παρατηρεῖσθαι· ὅταν τις εἰς πόλιν εἰσέλθῃ, σκόπει τὰ δ' κέντρα ὑπὸ τίνων ὁρᾶται, καὶ ἡ Σελήνη πρὸς τίνας φέρεται· παρετηρήθη γὰρ ὁ Καρκίνος οὐκ ἀγαθὸς ὡροσκοπῶν ἐν τῇ εἰσόδῳ τῆς πόλεως· οἱ γὰρ συντυγχάνοντες αὐτῷ ἔσονται κνιποί, καὶ οὐδὲν κερδανεῖ· εἰ δὲ καὶ δοῦναί τι μέλλει, πλέον δώσει τοῦ ὀφειλομένου. ἴσθι δὲ καὶ τοῦτο καθόλου, ὅτι ὁ Ἄρης ἀπὸ Τοξότου τὴν Σελήνην ὁρῶν [f. 178v] φαύλῳ σχήματι πληγὰς ἐπάγει κατὰ τὴν ὁδὸν ἢ ἑτέρας περιστάσεις.

[F. 179v.] Hephaest., III, 34. Περὶ κριτηρίου καὶ ἐγκλήματος καὶ νίκης καὶ ἥττης.

« Ἐπισκεπτέον δὲ τὰ περὶ τὰ κριτήρια καὶ τὰς τῶν ἐγκλημάτων ἐπιφορὰς οὕτως, τὸν μὲν ὡροσκόπον τῷ κατηγοροῦντι νέμοντας, τὸ δὲ μεσουράνημα τῷ κριτῇ, τὸ δὲ δῦνον τῷ κατηγορουμένῳ, τὸ δὲ ὑπόγειον τῇ κρίσει καὶ τῇ ἀποβάσει τοῦ πράγματος. καὶ ἐὰν μὲν ὡροσκοπῇ τροπικὸν ζῴδιον[1], τέλους οὐ τεύξεται τὸ πρᾶγμα· ἐὰν δὲ δίσωμον, ἐν μετανοίᾳ ἔσται ὁ κατηγορῶν· ἐὰν δὲ στερεόν, ἐπίμονος καὶ ἀπαραίτητος ὁ ἐνάγων. ἐπὰν δὲ καὶ ἀπὸ Ἄρεως βλάπτηται, θρασὺς ἔσται καὶ ὑβριστὴς καὶ ἀπότολμος[2]· ἐὰν δὲ ὑπὸ Κρόνου μαρτυρῆται, δόλιος καὶ πονηρὸς καὶ πρεσβύτης δηλοῦται ὁ κατήγορος. συνόντος δὲ τοῦ Ἑρμοῦ, σημαίνει δι' ἀργυρίου δόσιν τὴν κατηγορίαν ἐνίστασθαι ἢ καὶ πλαστογραφίαν. ὁμοίως δὲ καὶ μετὰ Ἄρεως ὁ τοῦ Ἑρμοῦ. Ζεὺς δὲ ἔνδοξον δηλοῖ καὶ Ἀφροδίτη εὐγενῆ, μετὰ δὲ Ἑρμοῦ τολμηρὸν καὶ εὐγενῆ, Ἑρμῆς δὲ μόνος γοργὸν καὶ πολυπράγμονα.

« Ταῦτα δ' ὑπονοητέον καὶ περὶ τῶν κριτῶν καὶ τῶν ἀναλόγως τοῖς ἐποῦσιν ἐν τῷ μεσουρανήματι ζῳδίοις τε καὶ ἀστράσιν. ἀγαθοποιῶν μὲν γὰρ ὄντων ἐν τῷ μεσουρανήματι, δίκαια ποιήσειν τὸν δικαστὴν σημαίνει, κακοποιῶν δέ, ἄδικα· τροπικοῦ δὲ ὄντος τοῦ ζῳδίου, αὖθις λεχθήσεσθαι τὴν δίκην, ἢ καὶ ἔκκλητον προχωρῆσαι· Ἡλίου δὲ καὶ Σελήνης μεσουρανούντων πάντα φανερὰ ποιήσειν μετὰ τοῦ ἔνδοξον

1 F. suppl. <ἐπὶ> τῆς ἐξ. 8 πρὸς τίνας] ὑπὸ τίνων. 28 μετὰ δὲ Ἑρμοῦ] Ἄρης δὲ. 31 μεσουρανήματι] τόπῳ. 33 σημαίνει om. P. 35 μεσουρανούντων] ἐπόντων.

[1] Τροπικὸν ζ. def. Sext. Empir. *Adv. mathem.*, V, 11.

[2] Ἀπότολμος « audax », non « inaudax », ut verti solet. Cf. *Revue de philol.*, 1902, p. 264, ubi hoc loco fretus rem demonstrare tentavi.

καὶ εὐγενῆ εἶναι τὸν δικαστήν, ἐν δὲ τῷ δύνοντι τυγχανόντων τῶν ἀγαθοποιῶν νίκην προαγορευτέον τῷ κατηγορουμένῳ. ὁ δὲ τόπος ὁ ὑπόγειος τὴν ἔκβασιν προμηνύει. τῶν μὲν γὰρ κακοποιῶν ὑπὸ γῆν ὄντων ἀδίκως ὁ κατηγορούμενος κατακριθήσεται, ἀγαθοποιῶν δέ, δικαίως.

« Ἔστι[1] δὲ καὶ ἕτερος τρόπος λαμβανόμενος ἐπὶ τῶν κριτηρίων χωρὶς τῶν δ' κέντρων οὕτως. Σελήνη <μὲν> γὰρ αὐξανομένη λαμβάνεται εἰς τὸν διώκοντα, ὁ δὲ Ἥλιος εἰς τὸν κατηγορούμενον καὶ ὑπόχρεων· μειουμένη δὲ ἔμπαλιν, τουτέστιν αὐτὴ μὲν λαμβάνεται εἰς τὸν ὑπόδικον, ὁ δὲ Ἥλιος εἰς τὸν διώκοντα. ἐπισκεψάμενοι οὖν τίς μᾶλλον καλῶς κεῖται ἐν τόπῳ, ἐν ὁρίοις καὶ μαρτυρίαις ἀγαθαῖς, καὶ ἐν τῷ ὑπὲρ γῆν ἡμικυκλίῳ, οὕτως προεροῦμεν ἀπὸ τῆς τῶν πλειόνων ψήφου καὶ ῥοπῆς τὸν νικήσοντα, τῆς πανσελήνου λαμβανομένης εἰς μεγάλην στάσιν καὶ ἔριν καὶ ἀπωλείαν.

« Καὶ πάλιν ἔστι καὶ ἄλλη τις ἐπιτήρησις περὶ τῶν αὐτῶν ἔχουσα [f. 180r] οὕτως. ὁρίσαι μὲν χρὴ τὸν μὲν τὸ πρᾶγμα προσαγγέλοντα Σελήνης ἀπόρροιαν εἶναι, τὸ δὲ πρᾶγμα αὐτὴν τὴν Σελήνην, τὴν δὲ συναφὴν τὸν κατηγορούμενον, ἐκ δὲ τῶν ὁρίων καὶ τῶν ἀστέρων δηλοῦν αὐτὰ τὰ περὶ τοῦ πράγματος· ἡ δὲ αὐτὴ ἔφοδος καὶ ὁ τρόπος [τῇ] περὶ ὁδοιπορίας καὶ μετοικισμοῦ χρήσιμος ἔσται. ἀσφαλέστερον δὲ καὶ φανερώτερον ἐπὶ τῶν κριτῶν μάθοιμεν ἂν ποταπός τε εἴη ὁ κατηγορουμένος καὶ ὁ κατήγορος, ἔτι δὲ καὶ ὁ κριτὴς καὶ ἡ ἔκβασις τοῦ πράγματος ἐκ τῶν δ' κέντρων, ὡς προλέλεκται, τοῦ Ἑρμοῦ ἀεὶ παραλαμβανομένου, ὑπαύγου μὲν ὄντος χρησίμου τοῖς ἐγκαλουμένοις καὶ τοῖς λαθραῖόν τι πράττουσιν, ἀνατολικοῦ δ' ὄντος τοῖς ἐγκαλοῦσι καὶ φανερῶς ἀντικαθισταμένοις.

« Τὴν δὲ Σελήνην ἐπιτηρεῖν χρὴ ἐν τῇ κρισίμῳ ἡμέρᾳ· καὶ ἐὰν τύχῃ οὖσα ἐν Ζυγῷ καὶ μάλιστα δύνουσα, ἀσύμφορος τῷ ἄδικον δίκην εἰσάγοντι· ἡττηθήσεται γάρ· ὁ δὲ δικαίως ἐγκαλῶν νικήσει. »

Ἐκκείσθω δὲ καὶ τὰ ἐκ τῶν ἐπῶν Δωροθέου μεταφρασθέντα οὕτως.

Quae sequuntur edidit Heeg, *Catal.*, V, 3, p. 80-83. — Deinde ita pergit scriptor :

[F. 181r] Ἐὰν δὲ οἱ τῶν κέντρων δεσπόται μὴ ὦσιν ὁμοῦ ἐν ἑνὶ ζῳδίῳ, δῆλον ὅτι ἀλλότριοι ἔσονται ἀλλήλων οἱ μαχόμενοι. σκεπτέον δὲ καὶ οὕτως.

Ὁ μὲν ὡροσκόπος ἔστω ὁ διώκων[2], ὡς εἴρηται, τὸ δὲ δῦνον ὁ φεύ-

6 ἔστω. 7 μὲν addo ex coni. 19 Fort. τῇ retinendum ac supplend. <ἐκβάσει> post μετοικισμοῦ.

[1] Titulus hicce in Heph. accedit : ἄλλος τρόπος ἐπισκέψεως.

[2] His fere similia ex codice Laurentiano 28, 34 edidit Olivieri, *Studi Ital. di filologia*, t. VI, p. 26.

γων, τὸ μεσουράνημα ὁ κριτής, τὸ ὑπόγειον ἡ ἔκβασις τῆς κρίσεως. ἐὰν οὖν ὁ Κρόνος ὡροσκοπῇ, ἔσται ὁ κατήγορος κακῆς φήμης· ἐὰν δὲ Ἄρης, τολμηρὸς καὶ αὐθάδης καὶ ἀμεταμέλητος, μονομάχου γνώμην ἔχων· ἐὰν δὲ Ζεύς, ἔνδοξος καὶ δίκαιος, καθιστάμενός τε τὴν γνώμην καὶ ἀτάραχος· ἐὰν δὲ ἡ Ἀφροδίτη, ἔσται τρώκτης καὶ κατεδηδοκὼς μὲν τὰ οἰκεῖα, ζητῶν δὲ καταφαγεῖν καὶ τὰ ἀλλότρια καὶ διὰ τοῦτο συνιστῶν δίκην· ἐὰν δὲ Ἑρμῆς, λεπτομερὴς καὶ δεδιδαγμένος. πάλιν δὲ ἐὰν μὲν ὁ Κρόνος μεσουρανῇ, ὁ κριτὴς ἔσται κακός· ἐὰν δὲ ὁ Ἄρης, προποτὴς καὶ θερμός· ἐὰν δὲ ὁ Ζεύς, δίκαιος καὶ εὐσεβής· ἐὰν δὲ ἡ Ἀφροδίτη, καλὸς καὶ ἀγαθός· ἐὰν δὲ ὁ Ἑρμῆς, λεπτομέριμνος καὶ ἀκροδίκαιος. ἔτι ἐὰν ὁ Κρόνος δύνῃ, ὁ κατηγορούμενος ἔσται ἡμαρτηκώς· ἐὰν δὲ ὁ Ἄρης, ὁμοίως κακὸς ἔσται. ἐὰν δὲ ὁ Ζεύς, δίκαιος ὁ κατηγορούμενος. καὶ ἐπὶ τούτοις ἐὰν ὁ Κρόνος ἐν τῷ ὑπογείῳ, ὁ κατηγορούμενος ἀδίκως κριθήσεται· ἐὰν δὲ ὁ Ἄρης, πρὸς τούτῳ πείσεται καὶ δεινά· ἐὰν δὲ ὁ Ζεύς, δικαίως κριθήσεται· ἐὰν δὲ ἡ Ἀφροδίτη, παρακληθήσεται ὁ κριτής, καὶ δεκάσει τὴν κρίσιν· ἐὰν δὲ ὁ Ἑρμῆς, διὰ δόσεως ἀργυρίου δεκάσει ὁμοίως τὴν κρίσιν. παρατηρεῖν δὲ δεῖ καὶ τὰ ζῴδια καὶ τὰ ὅρια τῶν ἀστέρων καὶ ἔτι τὰ δωδεκατημόρια καὶ ἐκ τῆς πάντων τούτων συγκράσεως προγνόντας ἀποφαίνεσθαι.

EXCERPTUM EX CODICE 22 (PARIS. 2841)

Anonymi fragmentum de revolutionibus lunae.

Insigne hoc fragmentum, quamvis nullum astrologiae quae dicitur iudiciariae praebeat vestigium, tamen in nostro catalogo inserere visum est, primum quia in eo novum invenitur excerptum Apollinarii, cuius alia iam supra (p. 61 ss.) inter Hephaestionea edidimus, deinde quod ex his quae de Cidena et Chaldaeis affert (p. 126, 14, p. 133, 11) discimus quomodo doctrinam de lunae periodis a Babyloniis ad Hipparchum et astronomos graecos pervenerit. Nomen auctoris huius fragmenti mutili eruere non potuimus. Verba ipsa affere liceat quibus a nobis interrogatus vir doctissimus Paulus Tannery nunc mortuus de hac re respondit :

Le fragment " sur les périodes écliptiques „ est remarquable :

1° par les connaissances mathématiques dont l'auteur fait preuve.

2° par une mention précise relative au rôle du Chaldéen Cidénas dans l'invention des périodes écliptiques.

3° par deux longues citations empruntées à des auteurs postérieurs à Ptolémée, un Artémidore (qui ne peut donc être celui de Parium, ni même, semble-t-il, celui de Daldis, contemporain de Ptolémée), et Apollinarios.

Il semble impossible de faire descendre ce fragment jusqu'à l'époque de Théodore de Mélitène, car il ne renferme aucun indice de connaissance de l'astronomie persane ou arabe, et il est douteux que les ouvrages d'Artémidore ou d'Apollinarios subsistassent au XIIIe siècle. Théodore de Melitène ne connait d'ailleurs Cidénas et les autres astronomes Chaldéens que par ce que Strabon en a dit.

La langue et la valeur du fragment permettent bien plutôt de le faire remonter au Ve ou au VIe siècle. Il paraît appartenir à un commentaire sur la Syntaxe de Ptolémée. S'il ne se retrouve dans aucun des textes publiés par Halma sous les noms de Théon, d'Hypatie et d'Héraclius[1]*, s'il n'est pas tiré des commentaires inédits de Théon sur les* Κανόνες πρόχειροι*, ce qui, à la rigueur est possible, je ne crois pas qu'il soit opportun, jusqu'à nouvel ordre, de proposer une attribution pour laquelle manquent les éléments nécessaires.*

[1] Textibus illis attente perlectis, hunc in eis deesse pro certo habere possumus.

Vir doctissimus I. L. Heiberg, Havniensis, qui plagulas nostras perlegere non recusavit multaque egregie correxit, fragmentum hoc misere corruptum ex commentario maiore Theonis ad Πρόχειροι Κανόνες in codicibus Vatic. gr. 190, saec. X, et Laur. 28, 12, saec. XIV, servato fortasse excerptum esse, sicut Paulus Tannery, credidit.

... ∴ προκειμένων χρόνων ἀποδείκνυται ὑπὸ Ἱππάρχου ἀεὶ ἀπὸ ἐκλείψεως ἐπὶ ἑτέραν ὁμοίαν ἔκλειψιν ἀποκατάστασις τοὺς ἴσους μῆνας περιέχουσα καὶ ταῖς ἴσαις περιόδοις ,δχια' ἴσας ἐπιλαμβάνουσα μοίρας τνβ', ἀκολούθως ταῖς πρὸς τὸν ἥλιον συζυγίαις. ἡ μέντοι ἀνταπόδοσις τῶν ἐκλείψεων πρὸς τὰς διαστάσεις μόνον τοῦ τε χρόνου καὶ τῶν κατὰ μῆκος περιόδων φαίνεται σώζουσα τὰς ἰσότητας, οὐκέτι δὲ πρὸς τὰ μεγέθη καὶ τὰς ὁμοιότητας τῶν ἐπισκοτήσεων· ὅλως δέ, εἰ μή τις πολυπραγμονοίη τὸν ἀπὸ ἐκλείψεως ἐπὶ ἔκλειψιν ἀριθμόν, ἀλλὰ τὸν ἀπὸ ἁπλῶς συζυγίας ἐπὶ τὴν ὁμοίαν, εὕροι ἂν τὸν ἀποκαταστατικὸν χρόνον τῶν τε μηνῶν καὶ τῆς ἀνωμαλίας, τὸ μὲν κοινὸν μέτρον λαβὼν ἀπὸ τῶν ιζ', ὃ συνάγει μῆνας μὲν σνα', ἀνωμαλίας δὲ ἀποκαταστάσεις σξθ', οὐκέτι μέντοι καὶ τὴν κατὰ πλάτος ἀπηρτισμένην ἀποκατάστασιν· τὴν δὲ τοιαύτην περίοδον εὑρῆσθαι μὲν ὑπὸ Κηδῆνα [1] λέγεται· φαίνονται δὲ πολλοὶ αὐτῇ κεχρημένοι, καὶ ὁ Πτολεμαῖος, ἀλλὰ μετὰ διορθώσεως. ἤδη μέντοι ὁ Ἱππαρχος προκατειλημμένου τοῦ τῆς ἀνωμαλίας ἀποκαταστατικοῦ χρόνου παραθέμενος διαστάσεις μηνῶν κατὰ πάντα ἐκλείψεις ὁμοίας καὶ ἴσας καὶ τοῖς μεγέθεσι καὶ τοῖς χρόνοις ἐχούσας, ἐν αἷς οὐδὲν διάφορον ἐγίνετο παρὰ τὴν ἀνωμαλίαν, ὡς διὰ τούτου καὶ τῆς κατὰ πλάτος παρόδου δεικνυμένης τῆς ἀποκαταστάσεως, ἐν μησὶ μὲν ,ευνη', πλατικαῖς δὲ περιόδοις ,ε϶κγ', τὴν τοιαύτην διάστασιν ἐξέθετο. κατὰ δὴ ταύτην μάλιστα τὴν ὑπόθεσιν αἵ τε σεληνιακαὶ καὶ ἡλιακαὶ ἐκλείψεις πραγματευόμεναι σύμφωνοι τοῖς φαινομένοις εὑρίσκονται, μενόντων τῶν κατὰ τὰς ἐκκεντρότητας θεωρημάτων· περιέχει δὲ ἡ τῶν ,ευνη' μηνῶν περίοδος ἐκλείψεις πενταμηνιαίας μὲν ρκβ', ἑξαμηνιαίας ωη'· πεντάκις μὲν γὰρ τὰ ρκβ' γίνονται χι', ἑξάκις δὲ τὰ ωη', ,δωμη', συντεθέντα δὲ ποιεῖ τοὺς ,ευνη' μῆνας τοὺς τῆς περιόδου.

A = Paris. 2841. f. 32r; B = Paris. 2415, f. 50v. 1 ∴ tantummodo in B. ἀπὸ codd.: ὑπὸ corr. Heiberg. 3 περιοδικοῖς δχμ' εἰς ἃς codd.: corr. ex Ptolem., *Synt.*, IV, 2 (p. 271, 17 Heiberg) ex quo haec et sequentia hausta sunt. 3-4 ἐπαναλαμβάνουσα B. Γ'] ἥμισυ A. 12 κατὰ f. 51r B. 13 ἀπαρτισμένην A. 14 Rectius Κιδήνα. 15 Ptol., *Synt.*, IV, 2 (p. 272 Heib.). 18 ἔκλειψιν A. 19 περὶ codd.; παρὰ corr. ex Ptol. 20 περιόδου codd.: corr. ex Ptol. 23 πραγματευόμεναι f. 32v A.

[1] De Cidena vel Ki-din-nu, astronomo Chaldaeo qui tertio ante C. p. n. saeculo floruisse videtur, cf. Kroll, *Cat. codd. astr.*, V, part. 2, p. 128, n. 1; Cumont, *Florilegium de Vogüé*, 1910, p. 159 ss., et *Neue Jahrb. f. das Klass. Alt.*, XXVII (1911), p. 9 ss.

Οἱ μὲν οὖν τρόποι οἷς οἱ παλαιότεροι ἐχρήσαντο καὶ ὁ Ἱππαρχος ἦσαν τοιοῦτοι· ἃ δ' ἐπέστησε πρὸς αὐτὰ ὁ Πτολεμαῖος ὕστερον ῥηθήσεται· ζητήσαις <δ'> ἂν εἰκότως ἐν ταῖς εἰρημέναις ἀποκαταστάσεσι τῶν περιόδων διότι αἱ πλατικαὶ ἀποκαταστάσεις πασῶν εἰσὶ πλείους μεθ' ἃς αἱ τῶν περιδρομῶν τῶν μηκικῶν, ἐλάττους μὲν τῶν πλατικῶν πλείους, [μείζους] δὲ τῶν ἀνωμαλιῶν αὐτῆς· πάλιν δὲ αἱ τῶν ἀνωμαλιῶν περίοδοι ἐλάττους οὖσαι τῶν περιδρομῶν [μείζους] πλείους εἰσὶ τοῦ τῶν μηνῶν ἀριθμοῦ· οἷον ἵν' ἔτι σαφέστερον γένηται παράδειγμα, ἡ ὑπόθεσις ἔστω ἡ ὑπὸ τῶν ἀρχαίων παραληφθεῖσα περίοδος ἣν ἐλέγομεν μηνῶν εἶναι σκγ'· ἀλλ' ἐν τούτοις τοῖς μησὶν οὖσι σκγ' αἱ πλατικαὶ περιόδοι εὑρίσκονται σμβ', αἱ δὲ τῶν μηκικῶν περιδρομαὶ σμα', αἱ δὲ τῆς ἀνωμαλίας σλε', μῆνες δέ, ὡς εἴρηται, σκγ'. δῆλον οὖν ὅτι πάντων μὲν ἐλάχιστος ἀριθμὸς ὁ τῶν μηνῶν ὑπάρχων σκγ', πασῶν δὲ τῶν περιόδων μείζων ἀριθμὸς ὁ τῶν πλατικῶν ὑπάρχων σμβ', μέσοι δὲ ὅ τε τῶν μηκικῶν περιδρομῶν οὖσῶν σμα', καὶ ὁ τῆς ἀνωμαλίας, εἰσὶ γὰρ σλε'. καὶ δῆλον ὅτι ὀλιγώτερα μὲν τὰ σμα' τῶν σμβ', τὰ δὲ σλε' ὀλιγώτερα τῶν σμα', τούτων δὲ τὰ τῶν μηνῶν ὄντα σκγ' ὀλιγώτερα πάντων τῶν ἀριθμῶν. αἴτιον δὲ τούτου ὅτι ἡ μὲν πλατικὴ ἀποκατάστασις γίνεται δι' ἡμερῶν κζ' πέμπτου ἔγγιστα, ἡ δὲ μηκικὴ διὰ κζ' τρίτου, ἡ δὲ τῆς ἀνωμαλίας διὰ κζ' ἥμισυ, ἡ δὲ ἀπὸ συνόδου πρὸς ἥλιον ἐπικατάληψις διὰ κθ' ἥμισυ λα' ἔγγιστα. ἐπεὶ γάρ, ὥσπερ ἔφαμεν, ὁ ἡλιακὸς κύκλος ὁ αὐτὸς δυνάμει ἐστὶ τῷ διὰ μέσων τῶν ζῳδίων κύκλῳ, ἐπείπερ ἐκβαλλόμενος διὰ τοῦ ἰδίου ἐπιπέδου ἐκείνῳ συμπίπτει, ὥσπερ δὲ οὗτος ἐγκέκλιται πρὸς τὸν ἰσημερινόν, καὶ ἔστιν αὐτῶν δύο σημεῖα τὰ ἰσημερινὰ κοιναὶ τομαί, οὕτω καὶ ὁ τῆς σελήνης κύκλος, καθ' οὗ ἡ πορεία αὐτῆς γίνεται, ἐγκέκλιται πρὸς τὸν ἡλιακόν. ἐκβαλλομένου οὖν πάλιν τοῦ σεληνιακοῦ ἐπιπέδου, τομαὶ γίνονται ἀμφοτέρων τῶν κύκλων περί τινα σημεῖα δύο, ἃ κυρίως αὐτῶν κέκληνται σύνδεσμοι, ἀλλ' ἀφ' οὗ μὲν φέρεται ἡ σελήνη πρὸς τὰ βόρεια, ἐπείπερ ταῦτα ἀνώτερά ἐστιν ὡς πρὸς ἡμᾶς, Ἀναβιβάζων κέκληται, ἀφ' οὗ <δὲ> πρὸς τὰ νότια διὰ τὸ ταὐθ' ἡμῖν εἶναι ταπεινότερα, Καταβιβάζων. τὸ δὲ ὅλον σεληνιακὸν ἐπίπεδον οὐ καθάπερ τὸ ἡλιακὸν ἐπὶ τὸ αὐτὸ μένει, ἀλλὰ παραφέρεται τεταγμένως ἐπὶ τὰ προηγούμενα τῶν δωδεκατημορίων ὡς ἀπὸ Κριοῦ ἐπὶ Ἰχθύας ἡμερήσια ἔγγιστα λεπτὰ τρία· φανερὸν δὲ τοῦτο ἐκ τῶν ἐκλείψεων, εἴπερ περὶ τοὺς συνδέσμους τούτους γινόμεναι ἀεὶ φαίνονται κατὰ τοὺς ἑξῆς

3 δ' add. Heiberg. 5 μηνικῶν B. 6 μείζους del. Heiberg. 7 μείζους del. Heiberg. 8 ἐπὶ codd.; ἔτι corr. Heiberg. 9 παραδείγματα A. 9 ss. Cf. Ptol., *ibid.*, p. 270. 11 μηνικῶν B. 13 πασῶν codd.: πάντων corr., cf. l. 18. 14 πλατικῶν] f. 51v B. 15 μέσοι δὲ οἵ codd.; corr. μηνικῶν B. αἱ codd.; ὁ corr. Heiberg. 19 κζ' ε'. μηνικὴ B. 20 κζ' γ' A. κζ· s' B. 21 ἐπικαταλήψεις codd.: corr. 22 ἔφαμεν] nempe in parte deperdita. 24 πρὸς A: εἰς B. 25 διοσήμεια B. 31 βόρεια B. 33 Fort. leg. τοῦ αὐτοῦ Heiberg. 36 φαίνεται A.

χρόνους ἐν τοῖς προηγουμένοις Ζῳδίοις· εἰ γὰρ ἔμενε τὸ σεληνιακὸν ἐπίπεδον καθάπερ τὸ ἡλιακὸν καὶ οἱ σύνδεσμοι, κατὰ τῶν αὐτῶν <ἂν> ἀεὶ τόπων αἱ ἐκλείψεις ἐγίνοντο. ἡ μὲν οὖν πλατικὴ αὐτῆς κίνησις ἐπὶ τοῦ ἰδίου αὐτῆς τοῦ ἐγκεκλιμένου λαμβάνεται κύκλου, καὶ εὑρίσκεται ἡ μεγίστη αὐτῆς ἐπὶ τῆς ἐγκλίσεως παραχώρησις ἐφ' ἑκάτερα μοιρῶν πέντε· ἡ δὲ μηκικὴ ὡς πρὸς τὸν διὰ μέσων διαφέρει· οὐδεμίαν γὰρ διαφορὰν αἰσθητὴν ποιεῖ τῇ φαινομένῃ μηκικῇ κινήσει... φαίνεται καθ' ἕκαστον μῆνα καὶ ἐλάχιστα καὶ μέσα καὶ μέγιστα κινουμένη ἄλλοτε ἀπὸ ἄλλων ἀρχομένη καὶ μὴ ἀκριβῶς ἐπὶ τὰ αὐτὰ λήγουσα· δι' ἃς δὲ αἰτίας ταῦτα γίνεται, ἐν τοῖς « Περὶ τῶν ἀνωμαλιῶν αὐτῆς » λέγεται· φαίνεται δὲ ἐκ τῶν προειρημένων ἡ προειρημένη ἀνωμαλία μὴ συναποκαθισταμένη αὐτῆς τῇ μηκικῇ κινήσει, ἀλλὰ πλεονάζουσα μοίραις δύο καὶ λεπτοῖς μς', ὡς τετήρηται. ἐὰν τοίνυν ὑποθώμεθα τὴν σελήνην ἐπὶ τῆς τοῦ Κριοῦ ἀρχῆς καθ' ἑνὸς τῶν συνδέσμων σύνοδον μεθ' ἡλίου πεποιημένην καὶ τὰ ἐλάχιστα ἀρχομένην δρομήματα ποιεῖσθαι, κινήσεως γενομένης μετὰ ταῦτα ἐν μηνιαίῳ χρόνῳ, ἡ σελήνη περιίουσα τὸ ἴδιον αὐτῆς κύκλον πρότερον ἐπὶ τὸν ἀναβιβάζοντα ἥξει διὰ τὸν αὐτόν, παραφερομένου τοῦ ἐπιπέδου εἰς τὰ προηγούμενα, γίνεσθαι ἐν τῷ τοσούτῳ χρόνῳ περὶ μοίρας Ἰχθύων ἔγγιστα κη' ἥμισυ· εἶθ' οὕτω πάλιν ἐπὶ τὴν τοῦ Κριοῦ ἀρχὴν ἐλεύσεται, καὶ μετὰ ταῦτα ἐπὶ τὴν ἀνωμαλίαν προσλαβοῦσα μοίρας β' μς' ἀποκατασταθήσεται, τουτέστιν ἐπὶ τῷ ἄρχεσθαι ἀπὸ τῶν ἐλαττόνων δρομημάτων ἐπὶ τὰ μέσα καθάπερ πρότερον κινεῖσθαι. ἐπὶ δὲ τούτοις λοιπὸν τὸν ἥλιον ἐπικαταλαβοῦσα, δηλονότι καὶ αὐτὸν ἐπικινηθέντα τὴν μηνιαίαν ἀποπληρῶσαι κίνησιν· εἴρηται γὰρ ὡς ἡ μὲν πλατικὴ ἀποκατάστασις γίνεται δι' ἡμερῶν κζ' πέμπτου ἔγγιστα, ἡ δὲ μηκικὴ διὰ κζ' τρίτου, ἡ δὲ τῆς ἀνωμαλίας διὰ κζ' ἥμισυ, ἡ δὲ ἀπὸ συνόδου πρὸς ἥλιον ἐπικατάληψις διὰ κθ' ἥμισυ λ' ἔγγιστα. διόπερ, ὡς εἴρηται, χρόνον περιέχοντα τὰς προειρημένας αὐτῆς πάσας ἀποκαταστάσεις καὶ † ὃ ἐν διαφόροις ἀριθμοῖς εὑρόντες περιοδικὸν τοῦτον κεκλήκασιν, ἐν ᾧ πλείων μὲν ὡς ἂν ταχυτέρων οὐσῶν <ὁ> τῶν πλατικῶν ἀποκαταστάσεων ἐστιν ἀριθμός, ἐλάττων δὲ τούτου ὁ τῶν περιδρομῶν τῶν μηκικῶν αὐτῆς, τούτου δὲ πάλιν ἐλάττων ὡς ἂν διὰ πλείονος γιγνομένων ὁ τῶν

2 ἂν add.? Heiberg. 5 περὶ χωρήσεις ἐφ' ἑκάτερα f. 33ʳ A. μοίρας A. 6 μηνικὴ B. διαφέρει A : διὰ βορείων A. Verba corrupta. 7 μηνικῇ B. Post κινήσει lac. sign. Heiberg. 8 ἕκαστον f. 52ʳ B. ἐλαχίστη καὶ μέση καὶ μάλιστα B. 9 λέγουσα A. 10 αὐτὰ B. 12 L. αὐτῇ. μηνικῇ B. 14 καθ'] καὶ codd.; corr. 16 γενομένης B. 17 παριοῦσα B : περιοῦσα A : corr. 18 τα prop. Heib. παραφερόμενον B. 23 Verbum deesse videtur. 25 εἴρηται] Cf. supra, p. 127, 20. 26 κζ' ε' A. μηνικὴ B. 27 κζ' γ' A. ἥμισυ A : s' B. 28 Supra, p. 127, l. 20. κθ' ἥμισυ λα'. διόπερ ἓν εἴρηται A. Cf. p. 127, 3. 29-30 καὶ ὁ ἐν B : καὶ ἡ ἐν A, verba corrupta. 30 ἐν διαφόραν (*sic*) A. περίοδον codd. Corr. Heiberg ex Ptol. 270, 10. 31 ὁ add. Heiberg. 32 μηνικῶν B. 33 τοῦτον B, πλείονος : l. ἐλλάττονος?

ἀνωμαλιῶν· ἐμπεριέχονται δὲ εἰς μείζους πάσας τὰς προειρημένας ἐλάττονες αὐτοὶ ἀριθμοὶ ὡς μηνιαίῳ χρόνῳ.

Γράφει δὲ Ἀρτεμίδωρος[1] περὶ τῶν κατὰ Πτολεμαῖον ψηφοφοριῶν, ταῦτα· « τὴν σελήνην ὁ Πτολεμαῖος ἐν τοῖς ,ευνη' μησὶν ὑποτίθεται κατὰ πλάτος κύκλους διανύειν ,ε℗κγ' κατὰ τὰ αὐτὰ τῷ Ἱππάρχῳ, ἐπιλαμβάνειν τε κατὰ μῆκος μεθ' ὅλους κύκλους μοίρας λγ' με'· αἱ δὲ κατὰ βάθος πλεῖσται προσθαφαιρέσεις, ἐπὶ μὲν τοῦ μεγίστου ἀποστήματος ἐντὸς τοῦ κέντρου τοῦ ἐπικύκλου ἡ διαφορὰ γίνεται μοιρῶν ε' ο', ἐπὶ δὲ τοῦ ἐλαχίστου s" λθ'· καινοτομεῖν δὲ δοκεῖ διά τινων φαινομένων. δι' ὀργάνου τετήρηκε μηδὲ ποδιαίαν ἔχοντος τὴν διάμετρον ἐπὶ τῆς σελήνης, ὅτι τὸ ἀπόγειον τοῦ ἐπικύκλου μὴ πάντοτε νεύει ἐπὶ τὸ κέντρον τῆς γῆς, ἀλλ' ἐπὶ τὸ δι' ἀμφοτέρων τῶν κέντρων σημεῖον, τὸ τὴν ἴσην [τῶν] μεταξὺ τῶν κέντρων κατὰ τὰ περίγεια τοῦ ἐκκέντρου αὐτῆς κύκλου διάστασιν περιέχον καὶ διὰ ταῦτα τὴν τῆς ἀνωμαλίας ἀποκατάστασιν ποιεῖται. διορθούμενος δὲ τὰς τῆς σελήνης κατὰ τὸν Ἵππαρχον ὁμαλὰς κινήσεις, ἃς ἐκεῖνος τῇ διὰ τῶν ,ευνη' μηνῶν ὑποθέσει ἐκτίθεται, ὅμως ἐν τῇ τῶν συζυγιῶν πραγματείᾳ αὐτῇ τῇ διὰ τῶν ,ευνη' μηνῶν γινομένῃ κατὰ μῆκος ἐμμήνῳ προκοπῇ κέχρηται· ἐξ οὗ δῆλον ὅτι ὁ τῆς συζυγίας χρόνος οὐ περιέξει τὸν αὐτὸν τόπον τῷ ἐκ τῆς Συντάξεως. »

Συμβέβηκεν οὖν αὐτὸν ἄλλα μὲν ἀποδεικνύναι διὰ τῶν αὐτοῦ τερήσεων αἷς οὐκ ἠκολούθησεν, ἄλλα δὲ ὑποτίθεσθαι· ὑπολείπεται <οὖν> ἐπὶ τῆς σελήνης ιζ' ἑξηκοστοῖς εἰς τὰ προηγούμενα <τὰ> ἐν τοῖς Προχείροις τῶν κατὰ τὴν Σύνταξιν· ἔχουσι δ' αὐτῷ ἐφεξῆς τῶν Κανόνων οὕτως. αἱ μὲν ἐκ τῆς Συντάξεως καθ' ἃς ἐνεστήκει εἰς τὸν ἐπιζητούμενον χρόνον τὰ ἀπὸ Ναβονασάρου ἔτη ℗νη', ἥλιος μὲν Ταύρῳ μοίρᾳ β' ζ' ἀκριβῶς, ἐγεγόνει δὲ μέσος ο' μη'· τὸ δὲ περὶ τὴν ἐκκεντρότητα διάφορον μοίρᾳ α' ιθ'· ἡ δὲ σελήνη ὁμαλῶς μὲν Σκορπίῳ μοίρᾳ κζ' ις'· ἀπεῖχε δὲ τὸ μὲν κέντρον τοῦ ἐπικύκλου τοῦ ἀπογείου τοῦ ἐκκέντρου μοίρας ν' νη'· ἀφ' οὗ ἀκριβῶς αὐτὸ τὸ κέντρον ἀπεῖχε τοῦ ἀπογείου τοῦ ἐπικύκλου τκδ' ις'· δι' ὧν καὶ ἡ διαφορὰ ἐγίνετο μοίρας β' νς'· ἡ δὲ

1 ἐμπεριέχοντα A : ἐμπεριέχοντες B ; corr. ὡς codd. : εἰς corr. 2 L. τοῦ μηνιαίου χρόνου? Πτολεμαῖος, IV, 2, p. 272, 20 Heib. 3 κατὰ τὰ] f. 52ʳ B. 6 μεθόδους codd.; corr. Heib. 8 προσθαφαίρεσεις B : πρὸς θ' ὑφαίρεσις A. 9 ς" λθ' B : ζ' λθ' A. κενοτομεῖν B ; cf. Ptol. IV, 9 init. 13 τῶν del. 14 περιέχοντα codd. 16 ἃς A ; ἀεὶ B. 19 ὁ τῆς f. 33ᵛ A. 20 Cf. Ptol. V, 10. 22 οὖν add. Heib. 23 τὰ add. Heib. 24 ἐξ (expunctum) ἔχουσι B : ἔχουσα A. 25 αἱ bene cf. 130, v. 3. ἐν(εἰ)στηκει (εἰ ex η corr.) A. 26 ἡλίου B. 28 λς' ις" A. 29 τοῦ τοῦ ἐπικύκλου *sic* codd.

[1] Hic Artemidorus astronomus, qui post Ptolemaei tempora vixit, ignotus esse videtur.

ἀκριβὴς αὐτῆς πάροδος Σκορπίῳ μοίρᾳ λθ′ ιβ′· διειστήκει δὲ ἀκριβῶς καὶ τοῦ βορείου πέρατος μοίρας κη′ μς′.

Αἱ δὲ ἀπὸ Προχείρων σχεδὸν μὲν αἱ αὐταὶ γίνονται· ἑξηκοστοῖς γὰρ τὸ πλεῖστον παρ' αὐτοὺς τοὺς ἐπιλογιζομένους διοίσουσι δύο. ὁμοίως δὲ καὶ ταύτας ἐκτίθεται· ὁ μὲν ἥλιος ἀπέχει τοῦ ἀπογείου μοίρας τκε′ κ′, αἷς ἐπιβάλλει μοίραν μίαν καὶ ἑξηκοστὰ ἐννέα, καὶ γίνονται ἐπὶ τὸ αὐτὸ μοῖραι τκθ′ λθ′· αὗται δὲ ἐκβληθεῖσαι ἀπὸ Διδύμων ε′ μοιρῶν καὶ ἑξηκοστῶν τεσσάρων, καταλήγουσιν εἰς Ταύρου μοίρας δύο καὶ ἑξηκοστὰ ἐννέα. τῆς δὲ σελήνης τὸ μὲν ἀπόγειον ὃν τοῦ ἐκκέντρου κύκλου ἀπεῖχε τῆς τοῦ Κριοῦ ἀρχῆς μοίρας ροδ′ κβ′, τὸ δὲ κέντρον τοῦ ἐπικύκλου τοῦ ἀπογείου τοῦ ἐκκέντρου μοίρας ν′ κβ′, τὸ δὲ κέντρον αὐτῆς τοῦ ἀκριβοῦς ἀπογείου τοῦ ἐπικύκλου μοίρας τκγ′ νε′, καὶ διὰ ταῦτα προσετίθει μοίρας β′ νς′. αὗται δὲ προστεθεῖσαι ταῖς ν′ κβ′, γίνονται νγ′ ιη′, ἀφ' ὧν ἐὰν ἀφέλωμεν τὰς ροδ′ κβ′ καὶ τὰς λοιπὰς σλη′ νς′ ἐκβάλλωμεν ἀπὸ τῆς ἀρχῆς τοῦ Κριοῦ, ἔξομεν τὴν ἀκριβῆ τῆς σελήνης ἐποχὴν Σκορπίῳ μοίρᾳ κη′ νς′. διενήνοχεν ἄρα τοῦ ἐκ τῆς Συντάξεως ἑξηκοστοῖς ιζ′· ταῦτα δὲ γίνεται περὶ τὴν τῶν νυχθημέρων ἀνωμαλίαν διάφορον.

Περὶ μὲν οὖν τῶν ἐκ τῆς Συντάξεως λαμβανομένων τῆς σελήνης παρόδου, τὰ νῦν ἀφέσθω· περὶ δὲ τῶν ἐκ τῶν Προχείρων κανόνων λεγέσθω. οἱ δὲ χρόνοι ὁμοίως ἐπὶ τοῦ ἡλίου καὶ ἐνταῦθα κεῖνται εἰκοσαπενταετηρίδων κατὰ ταὐτά, δεύτερος δὲ ἁπλῶν ἐτῶν, τρίτος μηνῶν Αἰγυπτίων, τέταρτος ἡμερήσιος δρόμος, πέμπτος ὁ καθ' ὥραν· λαμβάνεται δὲ ὥρα ὁμοίως μὲν ἡ ἀπὸ μεσημβρίας ἀριθμουμένη, μεταβληθεῖσα δὲ ἡ καιρικὴ εἰς τὴν δι' Ἀλεξανδρείας ἰσημερινήν, ὥστε διαφέρει ἡ ψηφοφορία κατὰ τὰς ὥρας· ὅσας γὰρ ἂν ποιήσῃ ἰσημερινὰς ὥρας ἀπὸ μεσημβρίας, αὐτὰς εἴσαγε ἐπὶ τὰς εἰκοσαπενταετηρίδας τὰς αὐτὰς καὶ τὰ ἁπλᾶ ἔτη, καὶ τὸν μῆνα τὸν αὐτὸν λήψῃ ὅνπερ καὶ ἐπὶ τοῦ ἡλίου διὰ τὰς ἰσημερινὰς ὥρας. παραλλάξεις τινάς γε μὴν λάβοι καὶ ἡ ἡμέρα, οὐχ ὥσπερ ὁ ἥλιος μίαν ἀπογραφὴν ἔχει ἑκάστῳ χρόνῳ μοιρῶν τε καὶ λεπτῶν, οὕτω καὶ ἐπὶ τῆς σελήνης διὰ μιᾶς περιθέσεως τῶν μοιρῶν τὸ μῆκος εὑρίσκεται τὸ ἀκριβές, ἀλλὰ πλείους τέ εἰσι σελίδες παρακείμενοι ἀριθμῶν <ταῖς> τε εἰκοσαπενταετηρίσι καὶ τοῖς ἁπλοῖς ἔτεσι καὶ τοῖς μησίν, ὁμοίως καὶ ταῖς ἡμέραις καὶ ταῖς

1 λθ′ A : κθ′ expunctum, λθ′ superscr. B. διαστήκει codd.; corr. Heib. 3 ἑξ(η)κοστοις (η man. prima ex ει corr.) A. 4 δύο B : β′ A, f. 53ᵛ B. 6 μίαν] τεσσάρων in marg. A, manu pr.; fors. recte. 7 τὸ αὐτὸ] Fort. leg. : τὸ ὅλον. Computatio falsa. Legendum μοῖρ. Δ ... δεκαεννέα? 325° 20′ + 4° 19′ = 329° 39′. 9 δύο B : β′ A. ἐννέα B : θ′ A. 12 ἀκριβοῦ B. 13 τκγ′ νε′ lacuna ταῦτα B : τε′ γ′ αἱ δὲ lego, ni fallor, in cod. A; τνε′ (ν corr. ex ε) νε′ καὶ διὰ ταῦτα A. 16 μοίρας A. 17 τῆς ἐκ τῆς A. ιζ′] σιζ′ codd.; corr. Heib., cf. p. 129, 28.. περὶ] Nonne legendum παρὰ? 18 διαφόρου codd. 22 ταῦτα cod.; corr. Heiberg. 29 Sententia corrupta. 30 ἀπογράφειν B. 33 L. δὲ εἰσὶ? ταῖς add. Heib. 34 τοῖς, f. 53ᵛ B.

ὥραις· διὰ τριῶν γὰρ σελίδων καὶ τῶν τούτοις παρακειμένων μοιρῶν τε καὶ λεπτῶν ψηφίζεται τὸ μῆκος.

Συμβέβηκε δὲ καὶ ἄλλη διαφορὰ τῇ τῆς σελήνης ψηφοφορίᾳ πρὸς τὴν τοῦ ἡλίου· ἐπὶ μὲν γὰρ τοῦ ἡλίου πάντας τοὺς εὑρισκομένους τῆς ὁμαλῆς κινήσεως ἀριθμοὺς εἰσάγομεν εἰς τὸν τῆς ἀνωμαλίας κανόνα· ἐπὶ δὲ τῆς σελήνης οὐκέτι πάντας τοὺς μετὰ κύκλον ἢ κύκλους παραλειπομένους ἀριθμοὺς εἰς τὸν τῆς ἀνωμαλίας κανόνα εἰσφέρομεν, ἀλλὰ μόνον ἐκ δυεῖν, ὡς ἐπιδείξομεν· ἔχει γὰρ οὕτως· ἐπὶ τοῦ ἡλίου μῆκος μόνον ἐψηφίζομεν, ἐπὶ δὲ τῆς σελήνης τρεῖς εἰσι χῶραι αἱ ψηφιζόμεναι ἐφεξῆς κείμεναι τῇ τοῦ μήκους <τοῦ> ἡλίου χώρᾳ· καὶ ἡ μὲν μετὰ τὴν σελίδα τοῦ μήκους τοῦ ἡλίου ἐστὶ σελὶς περιέχουσα τοὺς τοῦ ἀπογείου τῆς σελήνης ἀριθμούς, ἥτις ἐπιγραφὴν ἔχει « Ἀπογείου ἐκκέντρου »· ταύτῃ δὲ ἐφεξῆς κεῖται ἡ περιέχουσα τοὺς τοῦ μήκους τῆς σελήνης ἀριθμοὺς σελίς· ἐπιγέγραπται δὲ « Κύκλου ἐπικέντρου »· ἐν δέ τισιν ἀντιγράφοις οὕτως ἐπιγέγραπται· « Μῆκος κέντρου ἐπικύκλου »· ταύτῃ δὲ ἡ ἐφεξῆς σελὶς κεῖται ἡ τοῦ βάθους αὐτῆς ἐπιγραφὴν ἔχουσα « Κέντρου σελήνης », ἐν δέ τισι, « Βάθος κέντρου σελήνης ». καὶ αὗται μέν εἰσιν αἱ τρεῖς χῶραι ἃς χρὴ ἀριθμεῖν, τουτέστι τοὺς κατ' αὐτὰς ἀριθμοὺς ψηφίζειν, τὸν μέλλοντα εὑρήσειν πόσον κατὰ μῆκος ἡ σελήνη κεκίνηται· τὸ γὰρ βόρειον πέρας, τουτέστι τὸ πλάτος τὸ ἐν τῷ ἐφεξῆς σελιδίῳ ἀναγεγραμμένον ἢ τὸ σελίδιον τὸ « Λέοντος καρδίας » ἐπιγεγραμμένον, ὃ ἔν τισιν ἀντιγράφοις ἐφεξῆς κεῖται, εἰς τὸ μῆκος οὐκ ἔστι χρήσιμα, ἀλλὰ εἰς τὴν τῆς ἐκλείψεως, ὡς ἐξῆς ἐροῦμεν. παράκειται δὲ τὰ τρία ταῦτα σελίδια τό τε ἀπογείου καὶ τὸ ἐπικύκλου· καὶ τὸ τοῦ βάθους πᾶσι τοῖς ὁμαλοῖς ἀριθμοῖς, τουτέστι καὶ ταῖς εἰκοσαπενταετηρίσι καὶ τοῖς ἁπλοῖς ἔτεσι καὶ τοῖς λοιποῖς τῶν πέντε χρόνων. ζητῆσαι δὲ ἄξιον πῶς τεσσάρων διαφορῶν ἐπινοουμένων ἐν τῇ σεληνιακῇ κινήσει, μήκους, βάθους, πλάτους, μηνιαίας ἀποκαταστάσεως, ἡ κατὰ σχέσιν θεωρεῖται τῆς πρὸς τὸν ἥλιον ἀποκαταστάσεως, ὅταν λέγωσι ζῳδιακοῦ περιδρομὴν καὶ ἀνωμαλίας ἀποκατάστασιν τήν τε ἀπὸ συνόδου πρὸς ἥλιον, ἐπὶ κατάληψίν τε τούτων τίνα ἐφαρμόζει τῶν προρηθέντων, ὅταν ᾖ πάλιν ἐν τῇ πραγματείᾳ ψηφοφορία τίθωνται μήκους, ἀνωμαλίας, πλάτους, ἀποχῆς· πάλιν τε τούτων ταὐτόν ἐστι τοῖς εἰρημένοις· ὅτι μὲν γὰρ τὸ πλάτος ταὐτὸν τῷ ἐν τοῖς Προχείροις ἐπιγραφομένῳ « Βορείου πέρατος », δῆλον· <ἡ> μὲν γὰρ πρὸς βορρὰν ἢ νότον κατάβασις ἢ ἀνάβασις ἀφορίζουσι τὸ πλάτος τῆς κινήσεως· πάλιν τε ὅταν ἐν τοῖς Προχείροις αἱ ψηφοφορίαι γίνωνται τοῦ τε ἀπο-

5 εἰσήγομεν A. τὸν, f. 34ᵛ A. 10 τοῦ add. Heib. 11 τοὺς] ὡς A. 14 In marg. A manu prima ἐκκέντρου ἐπικύκλου. 18 ἀπογεγρ. codd.; corr. Heib 19 εὑρίσκειν B. 25 ταῖς] τοῖς A. 28-29 Sententia corrupta. 30 τὴν f. 54ᵛ B. 31 τινὰ codd.; corr. Heib. 32 προῤῥηθέντων (*sic*) B. ᾖ ... ψηφοφορία verba corrupta, l. τε αἱ ... ψηφοφορίαι? πάλιν om. B. Supra πάλιν duo puncta censoria A. Pro πάλιν τε legendum τί? [Heib.]. 35 πέρατι B. ἡ suppl. 37 τε] l. δὲ?

γείου κέντρου, ὃ καὶ ἐπιγράφεται « Ζῳδιακοῦ ἀπογείου κέντρον »· καὶ πάλιν ἄλλου, ὃ ἐπιγράφεται « <Κέντρου> σελήνης », ἢ ὥς τινες « Βάθους κέντρου σελήνης ». γένοιτο δ' ἄν, οἶμαι, τούτων φανερὰ ἡ συνωνυμία, ἐάνπερ αὐτὰ ἀφορίσωμεν καθ' ἕκαστον. λέγει δὲ ὁ Ἀπολλινάριος[1] περὶ αὐτῶν οὕτως· « Μὴν μὲν ἐστὶν ὁ χρόνος ἐκ συνθέτου κινήσεως ἡλίου καὶ σελήνης· πλάτους δὲ ἀποκατάστασις λέγεται χρόνος ἀφ' οὗ ἂν τὸ σεληνιακὸν τῷ διὰ μέσων ἐφαρμόσαν κέντρον καὶ περιενεχθὲν τοῖς τοῦ πλάτους τέρμασιν εἰς τὸ τοῦ διὰ μέσων ἐπίπεδον ἀποκαταστῇ. βάθους δ' ἀποκατάστασις λέγεται χρόνος ἀφ' οὗ ἂν τῆς τοῦ ἄστρου σφαίρας τὸ ἀπογειότατον τῆς ἐπιφανείας μέρος ἀπὸ τοῦ ἀπογειοτάτου τῆς ἑαυτοῦ κινήσεως γενόμενον ἐπὶ τὸν ἀπογειότατον αὐτοῦ πάλιν ἀποκαταστῇ τόπον· μήκους δὲ ἀποκατάστασις λέγεται χρόνος ὁπόταν οἱουδηποτοῦν ἀστέρος τὸ κέντρον ὁρμῆσαν ἀπό τινος ἐπιπέδου τῶν διὰ τοῦ ζῳδιακοῦ πόλων γραφομένου κύκλου, καὶ περιοδεῦσαν τὸ ζῴδιον εἰς ταὐτὸ πάλιν ἐπίπεδον ἀποκαταστῇ τοῦτο ἀφ' οὗπερ ἤρξατο φέρεσθαι. ἄλλως δ' ἀποκατάστασις μέση λέγεται ἡ καὶ μὴ οὕτως ἔχουσα· κατελήφθη μὲν δὴ ὁ μηνιαῖος χρόνος μικτὸς ὢν ἐκ κινήσεως ἡλίου καὶ σελήνης· ἀρξαμένη γὰρ ἀπὸ <τῆς> πρὸς ἥλιον συνόδου ἡ σελήνη καὶ περιελθοῦσα τὸν ἑαυτῆς κύκλον ἐπιλαμβάνει τοσαύτην περιφέρειαν ὅσην ὁ ἥλιος ἐν τῷ μεταξὺ μέχρι τῆς ἐπικαταλήψεως κεκίνηται χρόνῳ· πῶς δὲ ἀστὴρ ἐλάχιστα καὶ μέγιστα κινεῖται τῆς δὲ ἀνωμαλίας αἴτιόν ἐστι τὸ βάθος· οὐκοῦν τοῦ μηνιαίου χρόνου καταληφθέντος, ἀνάγκη μῆκός τε καὶ βάθος κατειλῆφθαι· τὰ δὲ ζητούμενά ἐστι βάθους περίοδος, πλάτους περίοδος, μήκους περίοδος, μηνῶν πλήθους περίοδος· τοῦ βάθους μέρη τὸ ὑπόγειον καὶ τὸ πρόσγειον καὶ τὸ μέσον· ἡ σελήνη ἀπὸ τοῦ μέσου, ἀπὸ τοῦ ἀποστήματος ἐπὶ τὰ πρόσγεια χωροῦσα, τοὐντεῦθεν δὲ ἐπὶ τὸ μέσον ἀνατρέχουσα ἀπόστημα τὸν μηνιαῖον χρόνον ὅσον ἐφ' ἑαυτῇ μειοῖ τάχιον τὸν ἥλιον περικαταλαμβάνουσα διὰ τὸ τῷ μέσῳ μήκει προστιθέναι· προστιθεῖσα δὲ τῷ μήκει τούτων, καὶ τῷ πλάτει προστίθησι· τοὔμπαλιν δὲ ἀπὸ τοῦ μέσου ἐπὶ τὸ ἀπόγειον, καὶ ἀπὸ τοῦ ἀπογείου ἐπὶ τὸ μέσον φερομένη, αὔξει τὸ μηνιαῖον χρόνον βρά-

1-2 καὶ πάλιν ἄλλου B : πάλιν ἄλλως A. ἐπιγράφεται corr. : ἐπιγράφει codd. κέντρου suppl. 7'Απολινάριος codd. 5 μὴνin lac. omis. B. 9 χρόνου B. 10 ἀπὸ om. A. 12 χρόνου B. 13 ὁρμήσαντος cod. ; corr. Heib. οὐδηποτοῦν A. 14 Vix sanum : διὰ τῶν τοῦ ζῳδιακοῦ πόλων γραφομένων κύκλων coni. Heib 17 καὶ μὴ corruptum. 18 τῆς suppl. 25 τοῦ βάθους bis repet. A. 27 ἀπὸ τοῦ delendum? τοὐντεῦθεν] f. 54ᵛ B. 30 προστεθεῖσα A. τούτων] leg. τὸ ἴσον? Heib.

[1] Apollinarius ante secundum p. C. saeculum vixit, nam a Vettio Valente p. 250, 26 citatur ; cf. etiam Porphyr., *Isag. in Ptol. Tetrab.*, p. 195, 19 (ed. 1559); Paul. Alexandr., *Isag.*, Prooem. et supra, p. 61 ss. excerpta ab Hephaestione (II, 10) servata.

διον τὸν ἥλιον περικαταλαμβάνουσα· τῷ δὲ ἴσῳ καὶ τὸ πλάτος μειοῦσα συναύξει τὸν μηνιαῖον χρόνον· ἐξισοῖτο δ' ἂν εἰ ὑποστησαίμεθα τὴν φορὰν τοῦ πλάτους εἰς ἀριθμὸν μοιρῶν τῷ μήκει, λέγω δὲ τξ'· ὧδε γὰρ γενομένου διάφορον γένηται <οὐ> μόνον ἐν ἐλαχίστῳ διαστήματι τὸν ἐκλογισμὸν ποιουμένων, ἀλλὰ καὶ ἐν μείζονι· ὅθεν δεήσει τὴν περὶ τὸν ἥλιον καὶ τὴν σελήνην γινομένην διαφορὰν τῆς αὐξήσεως τῶν μηνῶν ἢ καὶ μειώσεως ἐκλογισαμένους διαστεῖλαι. ἔστι μὲν οὖν ὀξυτάτη ἡ πρὸς τὰ πρόσγεια καὶ ἀπόγεια παραχώρησις τῶν κύκλων, περὶ δὲ τὰ μέγιστα καὶ ἐλάχιστα δρομήματα τῆς σελήνης καὶ τὸ πλάτος τὴν ἰδίαν ἀπολαμβάνει μέσην· ἀπὸ γὰρ τοῦ βάθους τὸ πλάτος αὔξεται καὶ μειοῦται. Χαλδαῖοι δὲ ᾤοντο τὰ μέσα κινουμένης τῆς σελήνης ἀμείωτόν τε καὶ ἀπρόσθετον τὸ πλάτος· ἵνα εὕρηται δὲ περὶ τὰς ἐλαχίστας καὶ μεγίστας κινήσεις πλείστη πρόσθεσις γινομένη ἢ ἀφαίρεσις, ὥστε διαφορὰ γίνεται τοῦ πλάτους παρὰ τὸ τὴν σελήνην πρόσγειον ἢ ὑπόγειον εἶναι· κατὰ γὰρ τὸ προσγειότατον μέρος ἢ καὶ ἀπογειότατον τὸ ὁμαλὸν ἵσταται πλάτος· ἄλλη <μὲν> κατὰ τὸ ἀπόγειον, ἄλλη δὲ ἡ κατὰ τὸ προσγειότατον τοῦ ὁμαλοῦ πλάτους γίνεται σχέσις. καὶ οὐ μόνον δὲ περὶ τὸ ἀπογειότατον ἢ προσγειότατον τοῦτο γίνεται, ἀλλὰ καὶ κατὰ πᾶν μέρος τοῦ βάθους τὸ πλάτος ἐναλλάσσεται, ὥστε καὶ κατὰ τὴν μέσην ἀποκατάστασιν τῆς σελήνης τυγχανούσης, ἄλλη μὲν γίνεται σχέσις τοῦ πλάτους καταβαίνουσης τῷ βάθει, ἄλλη δὲ ἀναβαινούσης. οὐ μὴν ἄλλα καὶ καθ' ἕκαστον ζῴδιον ἐναλλαγή τις θεωρεῖται, τοῦ πλάτους ἐναλλασσομένου ἄλλοτε ἄλλως τοῦ βάθους πρὸς τὸ πλάτος· μόνον δ' ἂν μάλιστα τὸ πλάτος καταληφθείη εἴπερ ἐπὶ τῶν αὐτῶν σχέσεων τυχόντων καὶ τῶν αὐτῶν οὐ μόνον ζῳδίων, ἀλλὰ καὶ μοιρῶν ἡλίου καὶ σελήνης αἱ τηρήσεις γίνονται. τοῦτο δέ ἐστιν ἀδύνατον διὰ τὸ ἐν μυριάσιν ἐτῶν πάνυ πολλαῖς εἰκὸς γενέσθαι τὸ τοιοῦτον.

Τούτων οὕτω δεδειγμένων, ἐπιστήσομεν, μὴ τὸ μὲν μῆκος παρίστησιν ἡ ζῳδιακὴ περιδρομὴ καὶ τὸ ἐπιγραφόμενον « Κέντρον ἐπικύκλου » σελίδιον· διὸ καὶ ἐπιγράφουσι τινὲς αὐτὸ « Μῆκος κέντρου ἐπικύκλου »· τὸ δὲ βάθος ἐν μὲν τῇ πραγματείᾳ « Ἀνωμαλίας » ἐπέγραψεν, ὃ γίνεται ὅταν ἐπὶ μέγιστον κίνημα παραγένηται· ἐν δὲ τοῖς Προχείροις

1 πλάτος] f. 34ᵛ A. 4 οὐ suppl. μόνον μόνον *sic* B. γένηται vix sanum. Fort. leg. γένοιτο. 5 ἐκλογισμὸν A corr. pr. m. ex ἐκλογισμῶν (duo puncta = ι), ÷ = τα. ε' codd.; corr. 6 καὶ ἡ σελήνη γινομένη codd. 11 verbum deest ante μειοῦται. εὕροιτε codd.; corr. Heib. Post καὶ] χ expunctum B. 12 εὕροιτε] Fort. corrig. εὕρηται, sed deest aliquid. 16 μὲν suppl. 17 δὲ] γὰρ A. 18 οὐ μόνον σε *sic* A. 23 ἐναλλαγὴ τῆς codd. ἄλλους codd.; ἄλλως corr. Heib. 24 δ' ἂν μάλιστα δ' ἂν A. 25 ἐπὶ corr. Heib., εἰπεῖν codd. 26 ἀδύνατον corr.: ὃ δυνατὸν codd. 27 γενέσθαι] f. 55ᵛ B. 28 ἐπιστήσομεν corr.: ἐπίστησον μὴ codd. 33 μεγίστου κινήματος ἐπὶ μέγιστον κίνημα A.

ἐπέγραψε « Κέντρου σελήνης »· τὸ δὲ πλάτος τὸ τοῦ βορείου πέρατος σημαίνει ἐπίγραμμα, ἡ δ' ἀποχὴ τὴν ἀπὸ συνόδου πρὸς ἥλιον ἐπικατάληψιν ὅσον ἀπέχει καθ' ἕκαστον χρόνον. ταῦτα μὲν οὖν περὶ τῆς ὀνομασίας ἀπαιτεῖ τὴν ἀληθῆ ἱστορίαν. ἡμεῖς δὲ τοὺς τῆς πραγματείας ἀφέντες ἀριθμούς, περὶ τῶν ἐν τοῖς Προχείροις λέγωμεν Κανόσι.

4 L. ἡ ἀληθὴς ἱστορία?

EXCERPTA EX COD. 26 (PARIS. SUPPL. GR. 651)

[F. 39.] Ἡφαιστίωνος Θηβαίου ἀποτελέσματα συνοπτικῶς περὶ τῶν ἐκλείψεων τῶν φωστήρων ἐκ μόνων τῶν ζῳδίων [1].

Variae lectiones et additamentum ad libri I caput 21.

P. 83, 7 Engelbrecht. Σεληνιακῆς ἐκλείψεως γενομένης ἐν τῷ Κριῷ ἀφορίαν π. ἔσ. σημαίνει. 9. δὲ om. 10. κατὰ τὴν πεδιάδα. 11. ἐν δὲ Ζυγῷ] ἐν δὲ om, δὲ (ἐν om.). 13. μείζονας] βιαίους. 14. ἐν δὲ τοῖς om. 16. Titulum addit : περὶ Ἡλίου, mox : Ἡλίου δὲ ἐκλείποντος ἐν Κριῷ. 17. ἀποδεικνύσει. 20. πνεῦσαι. 20-21. Spatium non exstat. 23. ὥρισαντο δὲ οἱ παλαιοὶ μερικῶς ὅτι ἐν μὲν τῷ Κριῷ. 24. ἐν Αἰγύπτῳ. 28. πρὸς] κατὰ.

P. 84, 1. τῆς οὖν ἐκλείψεως. 3. πολυπάθειαν. τοῦ Ἡλίου ἢ τῆς Σελήνης τῆς ἐκλείψεως γενομένης. 9. τῆς Ἀσίας. Post τελευτήσειν add. haec : ὥρισαντο καὶ τοὺς πρωτοστατήσαντας ὑπὸ τῶν ὀχέων (F. C. corr. ὄχλων) κακοποιήσεσθαι. 13. τοῖς οἰκοῦσι φθορὰν καὶ ἀπώλειαν ἔσεσθαι καὶ φθορὰν τετραπόδων μάλιστα προβάτων. 15. Βαβυλωνία σημαίνει. 16. θλιβήσεσθαι. 18. Ἐν δὲ Καρκίνῳ ἐκλείποντος Ἡλίου. 20. οἰκοῦσι σημαίνει. τῆς δὲ Σελήνης ὥρᾳ πρώτῃ, δευτέρᾳ καὶ τρίτῃ ἐκλειπούσης τὸν δυναστεύοντα τῆς Συρίας. Post ὑπό τε] τῶν ὄχλων om 24. ἐν δὲ τῇ β' τριώρῳ ἤτοι ε', ς' τῆς τε ... (*sic*) Βαβυλῶνος καὶ Αἰθιοπίας φθορὰν ἔσεσθαι· Ἰνδοῖς δὲ καὶ ... (*sic ; εὐστάθειαν om.*) ἀφανισμόν· haec addit : ζ' δὲ καὶ η' καὶ θ' ἐν Περσίκῃ φθορὰν σημαίνει· ι' καὶ ια' καὶ ιβ' ὁμοίως ἐν Βαβυλῶνι φθορὰν ἔσεσθαι ἀνθρώπων καὶ προβάτων. 26. Ἐν δὲ τῷ Λέοντι ἐκλείποντος Ἡλίου. 27. στρατείας. 28. μηνύει. τὸ β' τρίωρον.

P. 85, 3. ἐπισχύσειν. τουτέστι δύνων om. (f. glossa textui inserta?). 4. σημαί· νει. τῆς δὲ Σελήνης ἐκλειπούσης κατὰ τὴν πρώτην τρίωρον μετ' ἐνιαυτόν. 6. Κύπρῳ. 7. κατ' αὐτόν. ἀνδρῶν] λαῶν. δὲ om. 10. μηνύει. 11. ὄχλων. 12. ἐν δυσμαῖς. 14. σημαίνει. 19. σημαίνει. 20. προδοσίας. ἀποστατῆσαι. 21. ἐκλείπῃ om.

P. 86, 2. ἔτη τὸν] ἔτη· τὸ δὲ τ. Α. βασιλ'. 3. βασιλέα om. 6. κυνῶν] κοινὸν male. 10. ἐπιβληθήσεσθαι om. 11. ἀπόφυγὴν (*sic*). 15. ἀφορίαν. 19. τοῖς τε. 23. ἀφανισθήσεσθαι. 24. ὥρᾳ om. 25. ἔσεσθαι] γενέσθαι. 27. καταδαίσασθαι. 28. Post ἐννάτῃ] ἢ add. 30. καὶ om. συμφορὰν.

P. 87, 1. ἐν τῇ πρώτῃ τριώρῳ Κρήτῃ ἐμφύλιον πόλεμον γενέσθαι. 3. Post

[1] Cf. supra, p. 52 ss. varias lectiones in cod. 21, f. 117 ss. collectas.

πέμπτῃ] δὲ add. Post Σκυθία (l. Σκυθίᾳ) vacuum spatium; f. suppl. <καί>. 4. Βαβυλῶνος. 5. ἐπιθαλασσίους. 8. ὑπὸ τοῖς περικειμένοις. 9. τετάρταις om. στρατοῦ. 13. τῇ] τὰ. παρὰ] περὶ. 14. Ἐλυμαΐδος. περίψυχρον. 16. ὡς om. πλησίον. 18. ἀρχομένης om. ἑνδεκάτης. 19. περὶ Μακεδόνας. 22. τοῦ Ἡλίου. 23. τοῖς πλησίον νότοις. 24. ἐν λυμ. Περσίδος καὶ νόσους] ἔτι δὲ νόσους. καὶ γῆς] καὶ om. 30. αἰχμαλωτισθῆναι. 31. διαφθαρῆναι.

P. 88, 4. ἐπαιτεῖσθαι. ἐν δὲ ταῖς. 15. σημαίνει post μέρει positum. 19. ταῖς (f. l. τοῖς) ἐν αὐταῖς. πόλεσι πρὸς ἀλλήλους. 22. ἐπιταθήσεται. καὶ om. 29. δεύτερον] δίμοιρον.

P. 89, 2. Post τριετίαν] ἢ add. παραλαβεῖν. δ′ δὲ καὶ ε′ ὥρας ἐκλείπων. 5. ι′ δὲ καὶ ια′ ὥρας. 7. λιμόν. καὶ ἡ Σελήνη ἐκλείπουσα. 9. Αἰγυπτίων ἐπὶ τέκνα. 10. καὶ ἐπισφαλῆ om. 11. ἀκρὶς πολλὴ. λυμαίνεσθαι ut P. 14. δὲ om. 16. βλάβην om. 19. ἔριδας. Post τόποις] καὶ κοινοῖς.

[F. 41r-υκδ′.] Περὶ τῆς ἀκτινοβολίας ἐκ τοῦ Οὐάλεντος[1].

Τῆς τε τοῦ ζητουμένου ἀστέρος μοίρας καὶ τοῦ εἰς τὸν ὡροσκόπον ἐπὶ μὲν ἀστέρας πολλαπλασίασον ἰδίᾳ καὶ ἰδίᾳ εἰς δ′, ἐπὶ δὲ τετραγώνου πολλαπλασίασον εἰς ἕξ. καὶ τὸν μὲν τῆς τοῦ ζητουμένου ἀστέρος μοίρας ὡριαῖον χρόνον ἀφαίρει ἀπὸ τοῦ Κριοῦ <εἰς τὰ> προηγούμενα ζῴδια, καὶ <ἔστι> ἀστὴρ καὶ τετράγωνος· τὸν δὲ τοῦ διαμέτρου ἀφαίρει ἀπὸ τῶν ἑπομένων καὶ ἔστι εὐώνυμος ἀστὴρ καὶ τετράγωνος· ἐπὶ δὲ τριγώνου δεξιοῦ τὸν μὲν τῆς ζητουμένης μοίρας πολλαπλασιάσων εἰς ἕξ· τὸν δὲ τῆς διαμέτρας (*sic*) εἰς β′· ἐπὶ δὲ τρίγωνον εὐώνυμον τὸν μὲν τῆς διαμέτρου ὡριαῖον χρόνον πολλαπλασιάσων εἰς ἕξ, τὸν δὲ ζητούμενον εἰς β′, μῖξον ἀμφότερα καὶ τὸν μὲν τῆς μοίρας ὡριαῖον χρόνον ἀφαίρει ἀπὸ τῶν τοῦ Κριοῦ προηγουμένων καὶ ἔστι δεξιόν· τὸν δὲ τῆς διαμέτρου ἀφαίρει ἀπὸ τῶν ἑπομένων, καὶ ἔστι τρίγωνον εὐώνυμον.

[F. 41r-υκε′.] Περὶ ἀκτινοβολίας κατὰ Δωρόθεον.

Τοὺς τῆς ζητουμένης μοίρας περὶ (f. l. πέρι) ἀφαιρικοὺς χρόνους τίθει ἐν ἓξ τόποις, καὶ ἀπὸ μὲν ἑνὸς τόπου τούτων ἀφαίρει ξ′, ἀπὸ δὲ ἑτέρου ϛ′, καὶ ἀπὸ ἑτέρου ρκ′· ἐν δὲ τοῖς ἄλλοις τρισὶ τόποις προστίθει. ταῦτα καὶ τὰ γινόμενα εἰσάγαγε εἰς τὴν ἀναφορὰν τοῦ ζητουμένου κλίματος καὶ λαβὼν τὰ τούτων παν.... ἀπὸ τοῦ περιφεροῦς ἐξ ἀναλογίας τὰ μὲν ἀφαιρεθέντα εἰσὶ δεξιά, τὰ δὲ προστεθέντα εἰσίν· εὐώνυμα δεξιὸν μέν ἐστιν ἀφ᾽ οὗ ὁ ἀστὴρ ἀπέρρευσεν, ἀριστερὸν δὲ εἰς ὃ πορεύεται.

5 εἰς τὰ add. Kroll. 10 τῆς διαμέτρου lege τῆς Σελήνης? 9-10 Lege τριγώνου εὐωνύμου. 13 τῆς διαμέτρου] Lege τῆς Σελήνης?

[1] Deest in Vettii Valentis Anthologiis a Krollio editis. Utrum re vera ex hoc scriptore excerptum sit an non, non liquet. Sicut traditum est, intelligi non potest signis astrologicis a librario, ut videtur, confusis [F. C.].

HERMETICA

edita ab

IOSEPHO HEEG

EXCERPTUM EX CODICE MONACENSI GRAECO 70

Hygromantia Salomonis.

Salomonis nomen iam primo p. Chr. n. saeculo haud pauci libri magici prae se ferebant gravissimo teste Flavio Iosepho, qui *Archaeol.*, VIII, 44 seq., haec scribit: Συνετάξατο δὲ καὶ βιβλία περὶ ᾠδῶν καὶ μελῶν πέντε πρὸς τοῖς χιλίοις καὶ παραβολῶν καὶ εἰκόνων βίβλους τρισχιλίας· καθ' ἕκαστον γὰρ εἶδος δένδρου παραβολὴν εἶπεν ἀπὸ ὑσσώπου ἕως κέδρου, τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ κτηνῶν .... παρέσχε δ' αὐτῷ μαθεῖν ὁ θεὸς καὶ τὴν κατὰ τῶν δαιμόνων τέχνην εἰς ὠφέλειαν καὶ θεραπείαν τοῖς ἀνθρώποις· ἐπῳδάς τε συνταξάμενος αἷς παρηγορεῖται τὰ νοσήματα καὶ τρόπους ἐξορκώσεων κατέλειπεν, οἷς οἱ ἐνδούμενοι τὰ δαιμόνια ὡς μηκέτ' ἐπανελθεῖν ἐκδιώξουσι κ. τ. λ. Saepissimeque Salomo eiusque artes magicae laudantur in papyris Aegyptiis (cf. A. Dieterich, *Abraxas*, p. 141 sqq.; Kroll, *Catal.* VI, p. 85; F. Pradel, *Griech. und Süditalien. Gebete*, p. 61 seq.; A. Abt, *Die Apologie des Apuleius von Madaura und die antike Zauberei*, p. 166 sqq.; Perdrizet, *Revue des Ét. Grecques*, XVI, 1903, p. 42 sqq.; Aem. Schürer, *Geschichte des jüd. Volkes*, vol. III, ed. IV, 1909, p. 418 sqq.). Semiticas gentes multas ac varias de Salomone fabellas excogitasse inter omnes constat. Conf., quae de hac re pluribus disserunt M. Grünbaum, *Neue Beiträge zur semit. Sagenkunde*, 1893, p. 198 sqq. et G. Salzberger, *Die Salomosage in der semitischen Literatur*, pars I, 1907 (diss. Heidelberg).

Quae fuerit natura atque indoles illorum librorum Salomoni adscriptorum, facile cognoscas ex Testamento Salomonis (Migne, *Patr. Gr.*, CXXII, p. 1316 seqq.) vel ex Sapientia Salomonis (*Catal.* VI, p. 85) vel ex incantamento ap. A. Vassiliev, *Anecd. Graeco-Byz.*, I, p. 332 s. Quorum in numero scriptorum habendus est libellus Ὑγρομαντεία inscriptus, cuius primus I. Gretser mentionem fecit (cf. I. A. Fabricius, *Cod. Pseudepigr. V. Test.*, p. 1046), qui tamen usque nunc ineditus latuit in bibliothecis. Nuper attigit hunc tractatum R. Reitzenstein, *Poimandres*, p. 187, adn. 1 (cf. etiam *Byz. Zeitschr.*, XIX, 1910, p. 178 seq.).

Codices, quibus Hygromantia traditur, usque nunc mihi innotuerunt quinque:

1. *Cod. Taurinensis gr.*, C., VII, 15 (Pasini CCLXXXIII), quem igni absumptum esse dolemus. Continebat fol. 75ʳ (cf. *Catal.* IV, p. 16): Ἑρμηνεία Σολομῶντος πρὸς υἱὸν αὐτοῦ Ἱεροβοὰμ λέγων· ἐγὼ ὁ πατήρ σου Σωλομὼν (*sic!*) ἐντέλωμαί σοι, ἀκριβώτατέ μου υἱὲ Ἱεροβοάμ, τὴν τῆς τέχνης σοφίαν καὶ βάλε αὐτὴν κατὰ νοῦν ἀκριβῶς κ. τ. λ. Inc. Ἐπίσκεψις τῶν ἑπτὰ πλανήτων καὶ ἅτινα χρὴ πράττειν ἐν

ταῖς ὥραις αὐτῶν ἐν ᾗ κυριεύουσι τὰς ζ' ἡμέρας τῆς ἑυδομάδος (*sic*)καὶ ὥρας αὐτῶν. Τῇ κυριακῇ ἡμέρᾳ κυριεύη ὁ μέγας γίγας Ἥλιος... Sequitur invocatio Solis. Hic codex qui solum initium libri continuit, valde a Monacensi discrepasse videtur.

2. *Cod. Monacensis gr. 70* (cf. *Catal.* VII, p. 3-5) habet unus nostrum librum integrum fol. 240-254. Hoc solo in editione nostra usi sumus.

3. *Cod. Parisinus gr. 2419* (cf. Reitzenstein, *Poimandres*, p. 187, adn.; *Catal.* VIII, cod. 4, p. 35). In hoc quoque, ut in Taurinensi, fol. 218 s., solum initium reperitur. Inc. Πρόσεχε ἀκριβῶς μου υἱὲ Ῥοβοὰμ εἰς τὴν ἀκρίβειαν τῆς τέχνης, ut in Monacensi.

4. *Cod. Atheniensis gr.*, quem nunc N. G. Politis possidet, scriptus saec. XVIII ineunte; continet « Σολομωνικήν (Claviculam Salomonis) », quam eundem atque Hygromantiam Salomonis vel simillimum libellum fuisse suspicari licet ex imprecatione et characteribus Lunae a Polite apud W. H. Roscher, *Über Selene und Verwandtes*, Lipsiae 1890, p. 175, adn. 8 editis.

5. *Cod. Atheniensis gr.*, quem eundem N. G. Politis possidet, descriptus ineunte saeculo XIX in Paro insula ex vetustiore exemplari; continet « Ἰατροσοφικόν ». Edidit Politis l. l. p. 176 adn. Εὐχὴν καὶ ὁρκισμὸν τῆς Σελήνης, quae plerumque ad verbum consentit cum imprecatione Lunae infra ex codice Parisino edita. Num hi duo codices integrum Hygromantiae textum praebeant, diiudicare nequeo, cum neutrum inspicere potuerim.

Quando hic liber sit conscriptus, certis argumentis omnino comprobari non potest, praesertim cum a nullo neque antiquitatis neque mediae[1] quae dicitur aetatis scriptore citari videatur. Quamvis multae in hoc libello inveniantur et formae et voces ex vulgari quem vocamus sermone Graeco depromptae, quae posteriora saecula Byzantina ostendant, tamen mihi persuasi ortum quidem esse in Aegypto (cf. infra, p. 144) illis fere temporibus quibus etiam magica illa scripta a Flavio Iosepho laudata totque illae papyri magicae Aegyptiae, sed retractatum esse sub finem aetatis Byzantinae in Italia inferiore (cf. infra p. 163 τζιρασόλεμ, p. 165 λουναρία, p. 146 σόλδον. De studiis Graecis in Italia inferiore per totum medium aevum cultis cf. L. Traube, *Vorles. u. Abhandl.*, II, München 1911, p. 85). Atque sine dubio ignotus eius libelli auctor addictus erat Hermeticae sectae, quem eiusdem sectae libros magicos imitatum esse R. Reitzenstein bene adnotavit (l. c., p. 187 adn. « *Schon der Anfang* πρόσεχε ἀκριβῶς μου υἱὲ Ῥοβοὰμ εἰς τὴν ἀκρίβειαν τῆς

[1] Mich. Psellus, Διηγήσεις περὶ Γιλλοῦς, cap. 2 (ap. Sathas, *Bibl. graeca med. aevi*, tom. V, p. 572 s.) narrat : Ἀπόκρυφον δέ μοι Ἑβραϊκὸν βιβλίον τοῦτο τὸ ὄνομα (i. e. Γιλλώ) προσέπλασεν· ὁ δὲ τὸ βιβλίον γράψας τὸν Σολομῶντα ποιεῖται ὑπόθεσιν, κἀκεῖνον εἰσάγει ὥσπερ ἐν δράματι τὰ τῶν δαιμόνων ὀνόματα καὶ τὰς πράξεις ἀγγέλλοντα· ἔστι γοῦν παρ' αὐτῷ ἡ Γιλλὼ δύναμίς τις πρὸς τὰς γενέσεις καὶ τὰς οὐσίας ἀντίθετος κ.τ.λ. Etsi in hoc quoque nostro libello Salomoni tributo γελλώ et γελοῦδαι p. 160 et 163 commemorantur, tamen Paulo Maas assentior, qui Psellum hic locum Testamenti Salomonis (Migne, *Patr. Gr.*, CXXII, 1333 D), cuius in libro *de daemonum operatione* (Migne, *Patr. Gr.*, CXXII, 819 seqq.) saepissime mentionem facit, in animo habere contendit (*Byz. Zeitschr.*, XVII, 1908, p. 225).

τέχνης (*vgl. in der* Κόρη κόσμου *Stob.*, Ekl., *p. 394, 25 :* πρόσεχε, τέκνον Ὧρε· κρυπτῆς γὰρ ἐπακούεις θεωρίας) *und mehr noch die Mahnung, diese Schrift niemand zu zeigen, charakterisiert sie als Nachbildung Hermetischer Schriften* »). Hoc vel inde maxime elucet, quod multa capitula de plantis septem planetis seu duodecim zodiis attributis prorsus simillima illis, quae in hoc Salomonis libello leguntur (infra, p. 159), nomine Hermetis Trismegisti ferebantur (cf. Diels, *Handschr. der antiken Aerzte*, II, p. 45; Boll, *Catal.* VII, p. 231 seqq.).

Hygromantiam idem quod hydromantiam significare certum est. De quo superstitionis genere, quod neque Graecis neque Romanis antiquis ignotum fuisse constat, fuse lateque Augustinus, *De civitate dei*, VII, cap. 35, disputat : « Nam et ipse Numa, ad quem nullus Dei propheta, nullus sanctus angelus mittebatur, hydromantiam facere compulsus est, ut in aqua videret imagines deorum vel potius ludificationes daemonum, a quibus audiret, quid in sacris constituere atque observare deberet. Quod genus divinationis idem Varro[1] a Persis dicit allatum, quo et ipsum Numam et postea Pythagoram philosophum usum fuisse commemorat... » breviusque Hincmarus Remensis, ap. Migne, *Patrol. Lat.*, t. CXXV, p. 718 : Hydromancii sunt qui in aquae inspectione umbras daemonum evocant, et imagines vel ludificationes ibi videre et ab aliis aliqua audire se perhibent. Conf. etiam Iohannes Tzetzes, Ἀλληγ. Ὀδυσσ. Δ vers. 51 et 64 apud Matranga, *Anecd. Graeca*, I, p. 247, et A. Bouché-Leclercq, *Histoire de la divination dans l'antiquité*, I, Paris 1879, p. 185 sqq.; A. Maury, *La magie et l'astrologie*, p. 435 sqq.

Aliud neque id omnino valde dissimile genus eiusdem superstitionis Lecanomantia est. De qua etsi nuper A. Abt, *Die Apologie des Apuleius*, Giessen 1908, p. 171-177 doctissime egit, tamen nonnullos eosque gravissimos testes hic afferre non alienum putavi, quippe qui ad Salomonis Hygromantiam rectius intelligendum conferant. Atque primo loco afferam prooemium Ps.-Callisthenis *Vitae Alexandri Magni*, I. cap I, ed. Müller, p. 1 sq. (conf. etiam alteram versionem editam ab H. Meusel, *Fleckeisens Jahrbücher*, Suppl. V, p. 706 Exscriptum etiam a Leone Allatio in *Syntagmate de Engastrimytho*, Lugduni 1629. p. 423, qui errore quodam captus Pseudo-Antisthenes legit, et ab I. A. Fabricio, *Bibl. Gr.*, tom. XIV, p. 148 sq.) : Οὗτος ὁ Νεκτανεβὼς τῇ μαγικῇ τέχνῃ ἔμπειρος ἦν, καὶ τῇ δυνάμει ταύτῃ χρώμενος, πάντων τῶν ἐθνῶν τῇ μαγείᾳ περιγενόμενος εἰρηνικῶς διῆγεν εἰ γάρ ποτε τούτῳ δύναμις ἐπέβη πολεμίων, στρατόπεδον οὐκ ηὐτρέπιζεν οὐδὲ ὑπερασπιστὰς ἔσκυλλεν εἰς παρατάξεις πολεμικάς, ἀλλὰ τιθεὶς λεκάνην ἐποίει

[2] Hunc locum Varronianum Apuleius, *Apologia*, cap. 42, p. 49, 13 Helm : « Memini me apud Varronem philosophum ... legere : Trallibus de eventu Mithridatici belli magica percontatione consulantibus puerum in aqua simulacrum Mercuri contemplantem quae futura erant CLX versibus cecinisse » respicere videtur. In quo libro Varro de hydromantia disseruerit et ex quo fonte hauserit, plane dubium est. Conf. quae A. Abt, *Die Apologie des Apuleius*, Giessen 1908, p. 171 sqq. adnotat.

λεκανομαντείαν, καὶ τιθεὶς ὕδωρ πηγαῖον εἰς τὴν λεκάνην ταῖς χερσὶν αὐτοῦ ἔπλασσεν ἐκ κηρίου πλοιάρια καὶ ἀνθρωπάρια κήρινα· ἐτίθη δὲ εἰς τὴν λεκάνην, καὶ ἐστόλισεν ἑαυτὸν στολὴν προφήτου καὶ κατέχων ἐν τῇ χειρὶ αὐτοῦ ῥάβδον ἐβελλινὴν καὶ στὰς ἐπεκαλεῖτο ὡσανεὶ τοὺς θεοὺς τῶν ἐπῳδῶν καὶ τὰ ἀέρια πνεύματα καὶ τοὺς καταχθονίους δαίμονας· καὶ τῇ ἐπῳδῇ ἔμπνοα ἐγένοντο τὰ ἀνθρωπάρια ἐν τῇ λεκάνῃ καὶ οὕτως ἐβαπτίζοντο. εὐθέως δὲ βαπτιζομένων αὐτῶν τὰ ἐν τῇ θαλάσσῃ ἀληθῆ πλοῖα τῶν ἐπερχομένων πολεμίων διεφθείροντο διὰ τὸ πολύπειρον εἶναι τὸν ἄνδρα τῇ μαγικῇ δυνάμει.

Mich. Psellus, τίνα περὶ δαιμόνων δοξάζουσιν Ἕλληνες, ed. I. F. Boissonade, Norimbergae 1838, p. 42 haec scribit: « Ὥσπερ δὲ ἀερομαντεία τίς ἐστι καὶ φυλλομαντεία, οὕτω δὴ καὶ λεκανομαντεία τοῖς περιττοῖς τὴν σοφίαν Ἀσσυρίοις κατῳκονόμηται ὑπὸ λεκάνης ὑποκειμένης καὶ μαντικοῦ πεπληρωμένης ὕδατος, τὸ πρὸς τὰ κοῖλα τῶν δαιμόνων ἐπιρρεπὲς τῷ οἰκείῳ χαρακτηριζούσης σχήματι· τὸ δέ γε ἐπιχυθὲν αὐτῇ ὕδωρ ἀδιάφορον μέν ἐστι κατὰ τὴν οὐσίαν πρὸς τὰ ὁμογενῆ ὕδατα· ἀλλ' ἥ γε ἐπ' αὐτῷ τελετὴ καὶ τὰ ἐπάσματα ἐπιτήδειον πρὸς ὑποδοχὴν τοῦ χρῶντος ἐργάζονται πνεύματος. τοῦτο δὲ δαιμόνιόν ἐστι γεῶδες καὶ μερικόν· καί, ἐπειδὰν ἐμπέσῃ τῷ ὕδατι, πρῶτον μὲν ἠχόν τινα ἄσημον τοῖς περιεστηκόσι κατὰ τὴν ὑποδοχὴν ἐμποιεῖ, ἔπειτα δὲ ἐπικείμενον τῷ ὕδατι ἀμυδρούς τινας φθόγγους τῆς τοῦ μέλλοντος ὑποφοφεῖ προγνώσεως. ἔστι δὲ πάντη πλάνον τὸ τοιοῦτον πνεῦμα, ὅτι τῆς ὑλικῆς ἐστι τάξεως, καὶ ἐξεπίτηδες τὸ γένος τοῦτο τὸν ἀμυδρὸν ἦχον ἐπιτηδεύονται, ἵνα διὰ τὴν ἀσάφειαν τῆς φωνῆς τὸν τοῦ ψεύδους ἀποδιδράσκωσιν ἔλεγχον. » Magorum denique in lecanomantia fraudes explicat Hippolytus, *Refut. omnium haeresium*, lib. IV, cap. 35, p. 100-104, ed. L. Duncker et Schneidewin, Gott. 1859 : « Ἀλλ' οὐδὲ τὴν λεκανομαντείαν αὐτῶν οὖσαν πανούργημα σιωπήσομαι. Οἴκημα γάρ τι κεκλεισμένον σκευάσαντες καὶ κυανῷ τὸν ὄροφον χρίσαντες εἰς δὴ τὸ παρὸν ἐπάγονται σκεύη τινὰ κυάνεα κ ι ἀνατείνουσι, μέση δὲ λεκάνη κατὰ τῆς γῆς ὕδατος μεστὴ τίθεται, ἣ τὴν ἀντανάκλασιν τῆς κυανοῦ προσπεσοῦσαν δίκην οὐρανοῦ ἐνδείκνυσιν. Ἔχει δὲ καὶ στόμιόν τι τὸ ἔδαφος λεληθός, ᾧ ἐπικειμένη ἡ λεκάνη τὸν μὲν πυθμένα ἔχει ὑάλου, αὐτὴ δὲ ἐστὶ πετρίνη, ὕπεστι δὲ οἶκος λεληθώς, εἰς ὃν συμπορευόμενοι οἱ συμπαῖκται σχήματα ὧν ἂν βούληται δεικνύναι ὁ μάγος θεῶν καὶ δαιμόνων ἐνδυσάμενοι ἐμφαίνουσιν, οὓς καθορῶν ὁ πλανώμενος τὸ πανούργημα καταπέπληγε τῶν μάγων, καὶ λοιπὸν πάντα πιστεύει τὰ ὑπ' αὐτοῦ ῥηθησόμενα. Δαίμονα δὲ ποιεῖ καίεσθαι, ἐν τοίχῳ διατυπώσας σχῆμα ὃ βούλεται, εἶτα λαθραίως ἐπιχρίει φαρμάκῳ μεμιγμένῳ τῷδε τῷ τρόπῳ· . ... λακωνικῷ καὶ ἀσφάλτῳ Ζακυνθίᾳ. εἶτα ὡς ἀποφοιβάζων τὴν λαμπάδα προσφέρει τῷ τοίχῳ. Τὸ δὲ φάρμακον ἐκλάμψαν καίεται. Ἑκάτην δὲ δοκεῖν ἔμπυρον διατρέχειν ἐν ἀέρι οὕτω τεχνάζεται· συμπαίκτην τινὰ κρύψας ἐν τόπῳ ᾧ βούλεται, παραλαβὼν τοὺς πλανωμένους πείθει λέγων δείξειν διιππεύουσαν δι ἀέρος ἔμπυρον τὴν δαίμονα, οἷς παραγγέλλει τὰς ὄψεις ταχὺ φυλάσσεσθαι ἡνίκα ἴδωσιν ἐν ἀέρι τὴν φλόγα, καλυψαμένους τε ἐπὶ πρόσωπον πίπτειν, ἕως αὐτὸς καλῇ, καὶ ταῦτα διδάξας ἐν ἀσελήνῳ νυκτὶ δι' ἐπῶν οὕτως φθέγγεται·

Νερτερίη χθονίη τε καὶ οὐρανίη μολὲ Βομβώ,
εἰνοδίη, τριοδῖτι, φαεσφόρε, νυκτεροφοῖτι·

ἐχθρὴ μὲν φωτός, νυκτὸς δὲ φίλη καὶ ἑταίρη,
χαίρουσα σκυλάκων ὑλακῇ τε καὶ αἵματι φοινῷ,
ἀν νέκυας στείχουσα κατ' ἠρία τεθνηώτων,
αἵματος ἱμαίρουσα, φόβον θνητοῖσι φέρουσα,
Γοργὼ καὶ Μορμὼ καὶ Μήνη καὶ πολύμορφε,
ἔλθοις εὐάντητος ἐφ' ἡμετέρῃσι θυηλαῖς.

Ταῦτ' εἰπόντος αὐτοῦ πῦρ δι' ἀέρος βλέπεται φερόμενον, οἱ δὲ φρίξαντες τὸ παράδοξον τῆς θέας καλύψαντες τοὺς ὀφθαλμοὺς ἐπὶ γῆς ῥιπτοῦνται ἄναυδοι. Τὸ δὲ τῆς τέχνης μέγεθος τοῦτον ἔχει τὸν τρόπον· ὁ συμπαίκτης, ὃν ἔφην κεκρυμμένον, ἡνίκα ἀκούσῃ παυσαμένης τῆς ἐπαοιδῆς, ἔχων ἴκτινα ἢ γῦπα περιειλημμένον στυπείῳ ἀνάπτει ἀπολύει. Ὁ δὲ ὑπὸ τῆς φλογὸς ταρασσόμενος εἰς ὕψος ἐπαίρεται καὶ δεξιτέραν τὴν πτῆσιν ποιεῖται· ὃ ἰδόντες οἱ μάταιοι ὥς τι θεῖον ἑωρακότες κρύπτονται. Τὸ δὲ πτηνὸν περιδινούμενον ὑπὸ τοῦ πυρὸς οὗ ἂν φθάσῃ καταφέρεται· καὶ ποτὲ μὲν οἰκίας καταφλέγει, ποτὲ δὲ καὶ αὐλάς. Τοιαύτη ἡ μάγων πρόγνωσις.

Quae si consideraveris, facile dubites an libellus ille Salomoni tributus iure ὑγρομαντεία inscriptus sit. Sed cum paene pro certo haberi possit neque ὑγρομαντείαν quoquo modo corruptum esse et in initio tractatus Salomo ipse se Roboam filio totam hygromantiae artem (ἡ ἅπασα προσοχὴ τῆς ὑγρομαντείας) traditurum esse dicat, at nusquam tradat, hoc veri simillimum mihi esse videtur per librarii incuriam eam ipsam partem libelli, in qua de hygromantiae vi ac natura sermo erat, perisse. Ἑρμηνείαν, quod cod. Taurinensi traditur, genuinam libri inscriptionem fuisse persuadere mihi non potui.

Accuratius de Salomonis libris apocryphis me disputaturum esse promitto in prolegomenis ad novam Testamenti editionem, quam paraturus sum. Hoc loco non possum non ex animo gratias agere Ricardo Reitzenstein et Adolpho Iacoby qui qua sunt humanitate, mihi tabulas nonnullas codicis Parisini 2419 lucis ope depictas permiserunt.

[F. 240.] ΥΓΡΟΜΑΝΤΕΙΑ.

Τὸ κλειδίον τῆς πάσης τέχνης τῆς ὑγρομαντείας εὑρεθὲν ὑπὸ διαφόρων τεχνιτῶν καὶ τοῦ ἁγίου προφήτου Σολομῶντος, ἐν ᾗ φαίνεται γράφειν πρὸς τὸν υἱὸν αὐτοῦ
5 Ῥοβοάμ.

Πρόσεχε, ὦ ἀκριβέστατε υἱὲ Ῥοβοάμ, εἰς τὴν ἀκρίβειαν τῆς τέχνης ταύτης ἐμοῦ τοῦ πατρός σου Σολομῶντος ἐν τοῖς πράγμασιν, ἐν οἷς κεῖται ἡ ἅπασα προσοχὴ τῆς ὑγρομαντείας, ὅτι χρὴ πρὸ πάντων <....> ἐπικρατεῖν τὰς ἐπιτηρήσεις τῶν πλανήτων καὶ τῶν ζῳδίων καὶ

3 τεχνίτων cod. 4 γράφειν] γραφήν cod., corr. Weyh. 6 ἑρμηνεία (rubr.) in marg. cod. 8 οἷς] ᾗ cod. προσεχή cod. 9 post πάντων lacunam statui. ἐπικρατῶν cod.

μετ' αὐτὰ μετέρχεσθαι καὶ ποιεῖν κατὰ τὸ βουλητόν. Ῥοβοὰμ δέ φησι πρὸς τὸν πατέρα αὐτοῦ Σολομῶντα· ὦ πάτερ, ἐν ποίοις πράγμασιν κεῖται ἡ ἐνέργεια τῶν πραγμάτων; Σολομὼν δέ φησιν· ἐν βοτάνοις καὶ ἐν λόγοις καὶ ἐν λίθοις κεῖται ἡ ἅπασα τέχνη καὶ χάρις καὶ ἐνέργεια τῶν ζητουμένων. πρὸ πάντων δὲ γίνωσκε τὰς θέσεις τῶν ἑπτὰ πλανήτων. εἰσὶ γὰρ ἑπτὰ πλανῆται διέποντες τὰς ἑπτὰ ἡμέρας τῆς ἑβδομάδος· ἀρχώμεθα ἀπὸ τῆς πρώτης ἡμέρας τῆς ἑβδομάδος, ἤγουν τῆς ἡμέρας τῆς κυριακῆς. καὶ ἐν τῇ πρώτῃ ὥρᾳ ὑποτιθέμεθα κυριεύειν τὸν Ἥλιον, εἶθ' οὕτως τὰς ἑξῆς ἐροῦμεν.

Ἐπίσκεψις [1].

Ἐπίσκεψις τῶν ἑπτὰ πλανήτων καὶ τίνα χρὴ πράττειν ἐν ταῖς ὥραις αὐτῶν, ἐν ᾗ κυριεύουσιν τὰς ἑπτὰ ἡμέρας τῆς ἑβδομάδος [2].

Ἡμέρᾳ κυριακῇ κυριεύει ὁ Ἥλιος.

☉, τῇ πρώτῃ ἡμέρᾳ κυριεύει ὁ Ἥλιος ὥρα α' <....>.
♀, τῇ δευτέρᾳ ἡ Ἀφροδίτη· καλὸν φέρουσα εἰς ἀγάπην αὐθεντῶν καὶ μεγιστάνων καὶ τυράννων.
☿, εἰς τὰς γ' Ἑρμῆς· καὶ ὠφελοῦσι διὰ συντυχίας αὐθεντῶν.
☾, εἰς τὰς δ' ἡ Σελήνη· διὰ νὰ ὁμιλήσεις μετὰ αὐθεντῶν.
♄, εἰς τὰς ε' Κρόνος· διὰ νὰ ἀποκόψεις συντυχίας.
♃, εἰς τὰς ς' Ζεύς· διὰ νὰ πάγεις ἔμπροσθεν αὐθεντῶν [f. 240ᵛ].
♂, εἰς τὰς ζ' Ἄρης· παραφυλάσσου μηδὲν ποιήσεις.
☉, εἰς τὰς η' Ἥλιος· κάμε ὅτι χρήζεις περὶ ἐξουσίας.
♀, εἰς τὰς θ' Ἀφροδίτη· καὶ διὰ δέσποινες ὁμοίως.
☿, εἰς τὰς ι' Ἑρμῆς· διὰ νὰ ποιήσεις ἀναφοράν.
☾, εἰς τὰς ια' Σελήνη· ἄρχου νὰ ποιεῖς ὁμιλίαν.
♄, εἰς τὰς ιβ' Κρόνος· μηδὲν ποιήσεις οὐδέν.
♃, εἰς τὰς ιγ' Ζεύς· καὶ λέγε εἰς βοήθειαν φίλων.

1 βουλητόν corr. ex βουλητήν. 2 ἐν corr. ex εἰ. ποίεις cod. 6 διέποντες] cf. Usener, *Der heil. Theodosius*, p. 168 et Bouché-Leclercq, *Astr. gr.*, 476, 2; 479, n. 3. 6 et 12 ἑπτάς cod. 7 τὴν ἡμέραν cod. 8 ὑπεθέμεθα cod. 11 πλανήτων corr. ex πλανίτων. 14 pauca verba exciderunt. 15 φερου cod. 16 τυράνων cod. 18 νά superscriptum in cod. 20 πάγεις = ὑπάγεις (intr.) vel πηγαίνεις. 23 Ἀφροδίτης cod. 27 φίλον cod.

[1] Cf. Ἡλιοδώρου ἐπίσκεψις τῶν πλανητῶν, πῶς κυριεύουσι τὰς ζ' ἡμέρας τῆς ἑβδομάδος καὶ τὰς ιβ' ὥρας, *Catal.* IV, p. 136 seq.

[2] Insolitus hic planetarum ordo (Ἥλιος, Ἀφροδίτη, Ἑρμῆς, Σελήνη, Κρόνος, Ζεύς, Ἄρης) atque etiam in papyro magica Lugdunensi obvius (cf. Albr. Dieterich *Abraxas*, p. 41 seq. et adn. 4) a Cassio Dione XXXVII 18 Aegyptiorum proprius fuisse dicitur.

♂, εἰς τὰς ιδ' Ἄρης· νὰ ἐμποδίσεις ὁμιλίαν.
☉, εἰς τὰς ιε' Ἥλιος· νὰ ἐνυπνιάσεις βασιλέα.
♀, εἰς τὰς ις' Ἀφροδίτη· διὰ νὰ ἐνυπνιάσεις δέσποιναν.
☿, εἰς τὰς ιζ' Ἑρμῆς· μηδὲν ποιήσεις οὐδέν.
☾, εἰς τὰς ιη' Σελήνη· ὥρα ἀγαθὴ πρὸς ἔργα.
♄, εἰς τὰς ιθ' Κρόνος· πρόσεχε μὴ ποιήσεις οὐδὲν.
♃, εἰς τὰς κ' ὁ Ζεύς· ποίει ἀγάπας αὐθεντῶν.
♂, εἰς τὴν κα' Ἄρης· ποίει ἐμποδισμούς.
☉, εἰς τὰς κβ' Ἥλιος· εἰς τὸ ἐμφανισθῆναι εἰς βασιλέα.
♀, εἰς τὰς κγ' Ἀφροδίτη· ἐμφανίσου πρὸς δέσποιναν.
☿, εἰς τὰς κδ' Ἑρμῆς· καὶ ἀναπαύου.

Ἡμέρᾳ δευτέρᾳ κυριεύει Σελήνη.

☾, τῇ α' ὥρᾳ κυριεύει ἡ Σελήνη καὶ ἔστι καλὴ διὰ νὰ ποιήσεις γραφὴν εἰς πουλησίαν καὶ ἀγοράν.
♄, εἰς τὰς β' ὥρας Κρόνος· ὥρα κακή.
♃, εἰς τὰς γ' Ζεύς· ὥρα καλὴ διὰ ν' ἀνοίξεις ἐργαστήρια.
♂, εἰς τὰς δ' Ἄρης· διὰ νὰ ἐμποδίσεις ἐργαστήρια.
☉, εἰς τὰς ε' Ἥλιος· διὰ νὰ ποιήσεις ἀρχὴν πουλησίας.
♀, εἰς τὰς ς' Ἀφροδίτη· διὰ συναλλάγματος.
☿, εἰς τὰς ζ' Ἑρμῆς· διὰ νὰ πορευθῇς εἰς ταξείδιον.
☾, εἰς τὰς η' Σελήνη· διὰ νὰ ἀγοράσεις.
♄, εἰς τὰς θ' Κρόνος· διὰ νὰ ἐμποδίσεις.
♃, εἰς τὰς ι' Ζεύς· ἐπιχειρίσου πραγματείᾳ [f. 241].
♂, εἰς τὰς ια' Ἄρης· νὰ κατασβήσεις τύχην.
☉, εἰς τὰς ιβ' Ἥλιος· ἐπιχειρίσου πραγματείᾳ.
♀, εἰς τὰς ιγ' Ἀφροδίτη· ἀναπαύου.
☿, εἰς τὰς ιδ' Ἑρμῆς· ποίει διὰ κέρδος ζωῆς.
☾, εἰς τὰς ιε' Σελήνη· μερίμνα περὶ πραγμάτων.
♄, εἰς τὰς ις' Κρόνος· μηδὲν μεριμνᾷς.
♃, εἰς τὰς ιζ' Ζεύς· καὶ γράφε καὶ λέγε.
♂, εἰς τὰς ιη' Ἄρης· ἐμποδίζει καὶ ἀντιβαδιάζει.
☉, εἰς τὰς ιθ' Ἥλιος· ἄρχου πάσης ὑποθέσεως.
♀, εἰς τὰς κ' Ἀφροδίτη· ἀναπαύου καὶ μερίμνα.
☿, εἰς τὰς κα' Ἑρμῆς· κίνα καὶ σάλευε τὸ πρᾶγμα.
☾, εἰς τὰς κβ' Σελήνη· ψήφισαι ὑπόθεσιν.
♄, εἰς τὰς κγ' Κρόνος· μηδὲν μεριμνᾷς.
♃, εἰς τὰς κδ' Ζεύς· ἄνοιγε τὸ ἐργαστήριόν σου.

3 Ἀφροδίτης cod. δέσποινα cod. 10 Ἀφροδίτης (saepius) cod. δέσποινα cod. 13 καλήν cod. 14 πουλησία = πούλησμα (vendilio). Cf. Ducange, s. v. 15 κακήν cod., corr. ex καλήν. 16 Ζεύς omis. cod. ἀργαστήρια cod. 19 συναλάγματος cod. 25 ἐπιχειρίου cod. πραγματείαν (corr. ex πρατείαν) cod. 26 Ἀφροδίτη cod. 30 Διός cod. 34 κινα = κίνει. σάλεβε cod. 35 ψίφησε cod.

Ἡμέρᾳ τρίτῃ κυριεύει ὁ Ἄρης.

♂, τῇ α' ὥρᾳ τῆς τρίτης κυριεύει ὁ Ἄρης· καὶ ἔναι καλὸν διὰ νὰ κάμῃς χαρτὶ νὰ νικᾶς εἰς πόλεμον καὶ εἰς τὰ ἑξῆς.
☉, εἰς τὰς β' Ἥλιος· διὰ νὰ λάβῃς σόλδον.
♀, εἰς τὰς γ' Ἀφροδίτη· νὰ ποιήσεις ἐπίδειξιν.
☿, εἰς τὰς δ' Ἑρμῆς· νὰ πορευθῇς εἰς πόλεμον.
☾, εἰς τὰς ε' Σελήνη· νὰ πορευθῇς καὶ νὰ φύγῃς.
♄, εἰς τὰς ς' Κρόνος· πρόσεχε τὸν πόλεμον.
♃, εἰς τὰς ζ' Διός· ἐμφανισθῆναι κατ' ἐχθρῶν.
♂, εἰς τὰς η' Ἄρης· ποίησαι βοήθειάν σου.
☉, εἰς τὰς θ' Ἥλιος· νὰ λάβῃς σόλδον κάστρου.
♁, εἰς τὰς ι' Ἀφροδίτη· εἰς τὸ ποιῆσαι δυναστείαν.
☿, εἰς τὰς ια' Ἑρμῆς· εἰς τὸ προφάζεσθαι.
☾, εἰς τὰς ιβ' Σελήνη· ὥρα τοῦ σκυλεῦσαι.
♄, εἰς τὰς ιγ' Κρόνος· πάντοτε φυλάσσου.
♃, εἰς τὰς ιδ' Ζεύς· εἰς τὸ διαβληθῆναι.
♂, εἰς τὸς ιε' Ἄρης· εἰς τὸ ποιῆσαι διὰ σωτηρίαν.
☉, εἰς τὰς ις' Ἥλιος· οὐδεμία ὠφέλεια [f. 241v].
♀, εἰς τὰς ιζ' Ἀφροδίτη· ζῆλος ἐπιφαίνεται.
☿, εἰς τὰς ιη' Ἑρμῆς· εἰς τὸ φυγῆναι.
☾, εἰς τὰς ιθ' Σελήνη· εἰς τὸ νικῆσαι τὸν ἀντίδικον.
♄, εἰς τὰς κ' Κρόνος· εἰς τὸ ἐλθεῖν κατὰ τοῦ ἐχθροῦ.
♃, εἰς τὰς κα' Ζεύς· εἰς τὸ ἀποκρυβῆναι.
♂, εἰς τὰς κβ' Ἄρης· προσεύχου τῷ θεῷ.
☉, εἰς τὰς κγ' Ἥλιος· φάνηθι ἐν πολέμῳ.
♀, εἰς τὸς κδ' Ἀφροδίτη· ὥρα ἐπίζηλος.

Ἡμέρᾳ τετάρτῃ κυριεύει ὁ Ἑρμῆς.

☿, τῇ α' ὥρᾳ τῆς τετόρτης κυριεύει ὁ Ἑρμῆς· ἔστιν δὲ καλὸν εἰς τὸ ποιῆσαι περὶ ἀφανότητος καὶ τὰ ἑξῆς καὶ εἰς μάθησιν παιδίου.
☾, εἰς τὰς β' Σελήνη· εἰς τὸ ἀναπαυθῆναι καὶ εὐθυμῆσαι.
♄, εἰς τὰς γ' Κρόνος· ὥρα ἀνώφελος.
♃, εἰς τὰς δ' Ζεύς· εἰς τὸ ποιῆσαι ἀρκιμίας.
♂, εἰς τὰς ε' Ἄρης· εἰς τὸ ἀναγγεῖλαι ἀπόκρυφα.
☉, εἰς τὰς ς' Ἥλιος· εἰς τὸ κροσεῦσαι καταφρονεῖσθαι.

3χαρτή cod. 4 σόλδον] saepius invenitur σολδίον vel σουλδιόν, v. Ducange, s. v. 9 ♃ — βοήθειάν σου omiserat librarius, add. in marg. βοήθεια cod. ἐχθρόν cod. 11 σόλτον cod. 16 totus versus omissus a librario in marg. additur. 17 totus versus omissus a librario add. in marg. 23 Διός cod. 28 τετράδης cod. 29 ἀφενότης (vel ἀφανότης) cod. in lexicis non invenitur. 32 ἀρκίμιας cod. Forma vulgaris pro ἀλχημίας (Heisenberg). 34 κροσεῦσαι sic cod. in lexicis desideratur. = κουρσεῦσαι? (v. Ducange, s. v.) Heisenberg, Weyh comparat francogallicum « creuser » (= thesauros effodere) collata p. 149, 16. καταφρονίσθαι cod.

♀, εἰς τὰς ζ' Ἀφροδίτη· εἰς τὸ δυναστεῦσαι γυναῖκα.
☿, εἰς τὰς η' Ἑρμῆς· εἰς τὸ ποιῆσαι περὶ κριτηρίου.
☾, εἰς τὰς θ' Σελήνη· εἰς τὸ αὐλισθῆναι μετὰ γυναίκης.
♄, εἰς τὰς ι' Κρόνος· παραφυλάσσου.
♃, εἰς τὰς ια' Ζεύς· ἄρχου τῆς ὁδοῦ, περὶ ὅτι θέλεις.
♂, εἰς τὰς ιβ' Ἄρης· μηδὲν πράξῃς τι.
☉, εἰς τὰς ιγ' Ἥλιος· ἄρχου ἐπάνω ὁμιλίας.
♀, εἰς τὰς ιδ' Ἀφροδίτη· ἄρχου εὐχῆς.
☿, εἰς τὰς ιε' Ἑρμῆς· εἰς τὸ ποιῆσαι περὶ ἐνυπνίων.
☾, εἰς τὰς ις' Σελήνη· εἰς τὸ ποιῆσαι δέματα.
♄, εἰς τὰς ιζ' Κρόνος· ὥρα ἀνώφελος.
♃, εἰς τὰς ιη' Ζεύς· πρὸς τὸ ζημιῶσαί τινας.
♂, εἰς τὰς ιθ' Ἄρης· εἰς ἀνταπόδοσιν ποιῆσαι.
☉, εἰς τὰς κ' Ἥλιος· ὥρα εὔχρηστος εἰς πᾶν [f. 242].
♀, εἰς τὰς κα' Ἀφροδίτη· εἰς ἐνύπνια.
☿, εἰς τὰς κβ' Ἑρμῆς· εἰς μάθησιν γραμμάτων.
☾, εἰς τάς κγ' Σελήνη· ὥρα καταδόσεως.
♄, εἰς τὰς κδ' Κρόνος· ὥρα ἄχρηστος.

Ἡμέρᾳ πέμπτῃ κυριεύει ὁ Ζεύς.

♃, τῇ α' ὥρᾳ τῆς πέμπτης κυριεύει ὁ Ζεύς· καὶ ἔναι καλὴ εἰς τὸ ποιῆσαι περὶ ἰατρείας παντὸς ἀνθρώπου καὶ ζῴου.
♂, εἰς τὰς β' Ἄρης· ὥρα ἄχρηστος.
☉, εἰς τὰς γ' Ἥλιος· εἰς τὸ φανῆναι ἔμπροσθεν βασιλέων.
♀, εἰς τὰς δ' Ἀφροδίτη· εἰς τὸ φανῆναι ἔμπροσθεν ἀρχοντίσσας.
☿, εἰς τὰς ε' Ἑρμῆς· εἰς τὸ μαθῆναι ῥητορικήν.
☾, εἰς τὰς ς' Σελήνη· διὰ μετατοπήσεις.
♄, εἰς τὰς ζ' Κρόνος· ὥρα φυλάσσου.
♃, εἰς τὰς η' Ζεύς· ὥρα καλὴ καὶ εὐλογημένη.
♂, εἰς τὰς θ' Ἄρης· ὥρα ἐπιβαλεῖν ζῆλον.
☉, εἰς τὰς ι' Ἥλιος· εἰς τὸ ποιῆσαι σώματος ὠφέλειαν.
♀, εἰς τὰς ια' Ἀφροδίτη· εἰς τὸ ποιῆσαι ἰατρείαν γυναικός.
☿, εἰς τὰς ιβ' Ἑρμῆς· εἰς τὸ ἀποδημῆσαι μακράν.
☾, εἰς τὰς ιγ' Σελήνη· εἰς τὸ ποιῆσαι ἐπιτυχίαν.
♄, εἰς τὰς ιδ' Κρόνος· ὥρα ἀνώφελος.
♃, εἰς τὰς ιε' Ζεύς· ὥρα εἰς πᾶσαν ἰατρείαν.
♂, εἰς τὰς ις' Ἄρης· εἰς τὸ ποιῆσαι τομήν.

2 Ἀφροδίτης cod. 4 Σελήνης cod. 6 Διός cod. 13 τιναί cod. 18 καταδόσεως] κατεδόσεως corr. in κατευοδόσεως cod. 21 καλλή cod. 25 ἀρχόντησας cod. 28 φυλάσου cod. 29 Διός cod. 30 ὥραν ἐπιβ. cod.

☉, εἰς τὰς ιζ' Ἥλιος· περὶ θεραπείας βασιλέων.
♀, εἰς τὰς ιη' Ἀφροδίτη· περὶ θεραπείας δεσποίνης.
☿, εἰς τὰς ιθ' Ἑρμῆς· εἰς τὸ μὴ φοβεῖσθαι λῃστάς.
☾, εἰς τὰς κ' Σελήνη· ὥρα εὔχρηστος.
♄, εἰς τὰς κα' Κρόνος· ὥρα ἀνωφελής.
♃, εἰς τὰς κβ' Ζεύς· ὥρᾳ χρηστῇ ποίει ὃ βούλει.
♂, εἰς τὰς κγ' Ἄρης· περὶ τοῦ βαλεῖν μάχην.
☉, εἰς τὰς κδ' Ἥλιος· ποίει περὶ χρησιμοτάτων καὶ αὐθεντῶν.

[F. 242v.] Ἡμέρᾳ παρασκευῇ κυριεύει ἡ Ἀφροδίτη.

♁, τῇ α' ὥρᾳ τῆς παρασκευῆς κυριεύει ἡ Ἀφροδίτη· καὶ ποίει περὶ ἀγάπης καὶ ἀγαπήσεως.
☿, εἰς τὰς β' Ἑρμῆς· διὰ μηνυμάτων προξενημάτων.
☾, εἰς τὰς γ' Σελήνη· ἀγαθὴ εἰς πᾶν πρᾶγμα.
♄, εἰς τὰς δ' Κρόνος· ἔμποδον τῆς ἀγάπης.
♃, εἰς τὰς ε' Ζεύς· εἰς δωρήματα καὶ ὁμιλίας ἀγαθάς.
♂, εἰς τὰς ς' Ἄρης· εἰς τὸ ποιῆσαι ζῆλον τῆς ἀγάπης.
☉, εἰς τὰς ζ' Ἥλιος· ὥρα καλὴ καὶ ἀγαπητική.
♀, εἰς τὰς η' Ἀφροδίτη· ὥρα καλὴ εἰς τὸ ποιῆσαι ἀγάπην.
☿, εἰς τὰς θ' Ἑρμῆς· ὥρα διὰ μηνυμάτων μνηστίων.
☾, εἰς τὰς ι' Σελήνη· ὥρα καλή, ἐὰν θέλῃς ποιῆσαί τι.
♄, εἰς τὰς ια' Κρόνος· ὥρα ἀνώφελός ἐστιν.
♃, εἰς τὰς ιβ' Ζεύς· εἰς τὸ ποιῆσαι συνθήκας.
♂, εἰς τὰς ιγ' Ἄρης· ὥρᾳ ἄρχου τῆς μνηστείας.
☉, εἰς τὰς ιδ' Ἥλιος· εἰς τὸ δῆσαι ἀνδρόγυνον.
♀, εἰς τὰς ιε' Ἀφροδίτη· εἰς τὸ ποιῆσαι δέματα τῆς ἀγάπης.
☿, εἰς τὰς ις' Ἑρμῆς· τοῦ ποιῆσαι ἐνύπνια τῆς ἀγάπης.
☾, εἰς τὰς ιζ' Σελήνη· ὥρα ἀγαθή.
♄, εἰς τὰς ιη' Κρόνος· ποιῆσαι ἐνύπνια τῆς ἀγάπης.
♃, εἰς τὰς ιθ' Ζεύς· ποιῆσαι πρὸς πᾶσαν καλὴν ὑπόθεσιν.
♂, εἰς τὰς κ' Ἄρης· μηδὲν πράξῃς οὐδέν.
☉, εἰς τὰς κα' Ἥλιος· ὥρα ἀγαθή.
♀, εἰς τὰς κβ' Ἀφροδίτη· ὥρα τῆς ἀγάπης.
☿, εἰς τὰς κγ' Ἑρμῆς· ὥρα δι' ἀρκιμίαν.
☾, εἰς τὰς κδ' Σελήνη· περὶ ὑστερήσεως.

1 et 2 θεραπείας corr. ex θεραπίας. 6 Διός cod. ὥρα χρηστήν cod. 8 χρησι. μάτων cod. 10 Ἀφροδίτης cod. 13 πᾶσαν cod. 17 καλλή (saep.) cod. 18 καλλήν cod. 23 μνηστείας] μυσιτίας cod. 24 ποιῆσαι (ante δῆσαι) del. cod. 28 τῆς ἀγάπης] τῆς ἀμάχης cod. 29 Διός cod.

Ἡμέρᾳ τῷ σαββάτῳ κυριεύει ὁ Κρόνος.

♄, τῇ α' ὥρᾳ τοῦ σαββάτου κυριεύει ὁ Κρόνος καὶ ἔναι ὥρα διὰ νὰ ποιήσεις βλάβην τοῦ ἐχθροῦ, ἤγουν νὰ ποιήσεις νὰ ἀρρωστεῖ ὁ ἄνθρωπος [f. 243].
♃, εἰς τὰς β' Ζεύς· νὰ ποιήσεις ναυάγιόν τινος.
♂, εἰς τὰς γ' Ἄρης· νὰ ἐνορθώσῃς φαρμάκια.
☉, εἰς τὰς δ' Ἥλιος· νὰ βάλεις μάχην εἰς ἄρχοντας.
♀, εἰς τὰς ε' Ἀφροδίτη· νὰ ποιήσεις νὰ μισηθῇ ἀνδρόγυνον.
☿, εἰς τὰς ς' Ἑρμῆς· περὶ τοῦ εὑρεῖν θησαυρὸν ὠφέλιμον.
☾, εἰς τὰς ζ' Σελήνη· νὰ ὁμιλήσεις μετὰ δαιμόνων.
♄, εἰς τὰς η' Κρόνος· νὰ ποιήσεις λεκανομαντίας.
♃, εἰς τὰς θ' Ζεύς· νὰ ποιήσεις νεκρομαντίας.
♂, εἰς τὰς ι' Ἄρης· ἵνα καταποντισθῇ λαός.
☉, εἰς τὰς ια' Ἥλιος· διὰ νὰ ποιήσεις ὄργιτα ἀντιδίκων.
♀, εἰς τὰς ιβ' Ἀφροδίτη· νὰ ποιήσεις φόβον καὶ ἔχθραν.
☿, εἰς τὰς ιγ' Ἑρμῆς· περὶ εὑρέσεως ἀποκρύφων ὠφέλιμον.
☾, εἰς τὰς ιδ' Σελήνη· περὶ τοῦ ἰδεῖν τοὺς ἀπ' αἰῶνος θανέντας.
♄, εἰς τὰς ιε' Κρόνος· περὶ τοῦ ἰδεῖν εἰς τὴν ὑγρομαντίαν.
♃, εἰς τὰς ις' Ζεύς· ὠφέλιμος εἰς παιδείαν.
♂, εἰς τὰς ιζ' Ἄρης· πάνυ κακοποιός.
☉, εἰς τὰς ιη' Ἥλιος· ὥρα ἄχρηστος.
♀, εἰς τὰς ιθ' Ἀφροδίτη· εἰς τὸ ποιῆσαι κέρδος εἰς ἀξάρι.
☿, εἰς τὰς κ' Ἑρμῆς· εἰς τὸ ποιῆσαι ἔμποδον παντὸς καλοῦ.
☾, εἰς τὰς κα' Σελήνη· ὥρα ἀνενέργητος.
♄, εἰς τὰς κβ' Κρόνος· εἰς τὸ ποιῆσαι θεάματα.
♃, εἰς τὰς κγ' Διός· ὠφέλιμος εἰς κάρπωσιν.
♂, εἰς τὰς κδ' Ἄρης· ὥρα μάχης καὶ ἔχθρας.

Γίνωσκε, ὦ ἀκριβέστατε υἱὲ Ῥοβοάμ, ὅτι κατ' ἐμμίᾳ ὥρᾳ κυριεύει εἷς ἄγγελος ἀγαθὸς καὶ εἷς δαίμων πονηρός. ἐὰν θέλεις ποιῆσαι ἀγαθὸν ἔργον, ὅρκιζε τὸν ἄγγελον τὸν ἀγαθόν, ἵνα ἔνι σοι σύνεργος. εἰ δὲ θέλεις νὰ ποιήσεις περὶ πράγματος ἑτέρου πονηροῦ, ὅρκιζε τὸν δαίμονα, νὰ ἔναι σύνεργόν σου, καὶ οὕτως πράξεις, εἴ τι βούλει· εὐκόλως ἄρχεται οὕτως.

[F. 234v.] Τῇ κυριακῇ ἄγγελοι καὶ δαίμονες.

Τῇ α' ὥρᾳ	ἄγγελος Μιχαήλ	δαίμων Ἀσμοδαί.
ὥρᾳ β'	ἄγγελος Ἀρφαναήλ	δαίμων Ὀρναΐ.

5 Διός cod. 8 μησισθῆ cod. 11 λεκανομαντεία] cf. Psellus, *De daemon. oper.*, Migne, CXXII, p. 881; A. Bouché-Leclercq, *Histoire de la divination dans l'antiquité*, I, p 185; *Catal.* IV, p. 132. 12 Διός cod. νεκρομαντίας] cf. Bouché-Leclercq, l. c., III, p. 363. 13 καταποντιστῆ cod. 18 ὑγρομαντία cod. 19 Διός cod. 22 ἀξάρην cod., cf. Ducange, s. v. ἀξάρι (ἀξάρια = tesserae). 35 Μιχαήλ : cf. *Catal.* VII, 179, 17.

ὥρα γ′	ἄγγελος Περουήλ	δαίμων Πηρράθ.
ὥρα δ′	ἄγγελος Ἰωραήλ	δαίμων Σιληδών.
ὥρα ε′	ἄγγελος Πιέλ	δαίμων Σιτρός.
ὥρα ς′	ἄγγελος Ἰώχθ	δαίμων Ζηφάρ.
ὥρα ζ′	ἄγγελος Πέλ	δαίμων Μανιήρ.
ὥρα η′	ἄγγελος Ἰοράν	δαίμων Ὀσμιέ.
ὥρα θ′	ἄγγελος Καταήλ	δαίμων Πνίξ.
ὥρα ι′	ἄγγελος Βιδουήλ	δαίμων Γηράτ.
ὥρα ια′	ἄγγελος Ἡδιήλ	δαίμων Νηστά.
ὥρα ιβ′	ἄγγελος Σαναήλ	δαίμων Πελιώρ.
ὥρα ιγ′	ἄγγελος Ὀφιήλ	δαίμων Ὁ Ἰστός.
ὥρα ιδ′	ἄγγελος Τεραήλ	δαίμων Ἄπιος.
ὥρα ιε′	ἄγγελος Λυσιέλ	δαίμων Νηγμός.
ὥρα ις′	ἄγγελος Ναλουήλ	δαίμων Ἀράξ.
ὥρα ιζ′	ἄγγελος Ὀρκιήλ	δαίμων Νηστριάφ.
ὥρα ιη′	ἄγγελος Περιήλ	δαίμων Ἀσκινός.
ὥρα ιθ′	ἄγγελος Ἰαρήλ	δαίμων Κινόπιγος.
ὥρα κ′	ἄγγελος Ἀθουήλ	δαίμων Ἄραψ.
ὥρα κα′	ἄγγελος Θαμανιήλ	δαίμων Ταρταρουήλ.
ὥρα κβ′	ἄγγελος Βραδήλ	δαίμων Μελμέθ.
ὥρα κγ′	ἄγγελος Κλινός	δαίμων Μηθριδανοῦ.
ὥρα κδ′	ἄγγελος Ἰών	δαίμων Φροδαινός.

Τῆς δευτέρας ἄγγελοι καὶ δαίμονες.

Τῇ ὥρα α′	ἄγγελος Γαβριήλ	δαίμων Μαμονάς.
ὥρα β′	ἄγγελος Φαρσαφαήλ	δαίμων Σκολιῶν.
ὥρα γ′	ἄγγελος Πινδωήλ	δαίμων Θετιδώφ.
ὥρα δ′	ἄγγελος Κοπιήλ	δαίμων Ἀρβᾶν.
[f. 244] ὥρα ε′	ἄγγελος Κελεκιήλ	δαίμων Ἀζᾶν.
ὥρα ς′	ἄγγελος Ταριήλ	δαίμων Μεμάχθ.
ὥρα ζ′	ἄγγελος Μνιήλ	δαίμων Σκαμιδινός.
ὥρα η′	ἄγγελος Ἐζεκιήλ	δαίμων Στιρφάν.
ὥρα θ′	ἄγγελος Ἰωήλ	δαίμων Γιράμ.
ὥρα ι′	ἄγγελος Σιναήλ	δαίμων Μενάκτινος.
ὥρα ια′	ἄγγελος Μεναήλ	δαίμων Μεκάκτινος.
ὥρα ιβ′	ἄγγελος Ῥοχαήλ	δαίμων Μεξιφών.
ὥρα ιγ′	ἄγγελος Ἀρισιήλ	δαίμων Οὐτολώχ.
ὥρα ιδ′	ἄγγελος Τραπηδωήλ	δαίμων Νυκτιδῶν.
ὥρα ιε′	ἄγγελος Ἀκινατιέλ	δαίμων Ὀυίστος.
ὥρα ις′	ἄγγελος Ὀργανιέλ	δαίμων Κασιερώφ.

9 β ante Ἡδιήλ del. librarius. 14 Ναλουήλ vel Νατουήλ cod. 19 μεχ μέθ ante Ταρταρουήλ del. librarius.

ὥρα ιζ′	ἄγγελος Ῥωματιήλ	δαίμων Κησιέποπος.
ὥρα ιη′	ἄγγελος Σελπιδῶν	δαίμων Ἀνδροφαΐ.
ὥρα ιθ′	ἄγγελος Οὐτιτῶμ	δαίμων Νιωέχ.
ὥρα κ′	ἄγγελος Μεταβιήλ	δαίμων Ἔνταυρος.
ὥρα κα′	ἄγγελος Ἀκβαήλ	δαίμων Συριτὼρ Φλινάφε.
ὥρα κβ′	ἄγγελος Εἰκονιήλ	δαίμων Κυκνίτ.
ὥρα κγ′	ἄγγελος Γενηκιήλ	δαίμων Κήνοψ.
ὥρα κδ′	ἄγγελος Κροτιήλ	δαίμων Σαρκιδῶν.

Τῆς τρίτης ἄγγελοι καὶ δαίμονες.

ὥρα α′	ἄγγελος Σαμουήλ	δαίμων Κακιστῶν.
ὥρα β′	ἄγγελος Ἰασμήλ	δαίμων Λιθριδών.
ὥρα γ′	ἄγγελος Φρερεήλ	δαίμων Μαϊλώθ.
ὥρα δ′	ἄγγελος Εὐδήλ	δαίμων Σαραπιδίε.
ὥρα ε′	ἄγγελος Πικτωήλ	δαίμων Ταρταρουήλ.
ὥρα ς′	ἄγγελος Ὀκαήλ	δαίμων Κερινουδαλός.
ὥρα ζ′	ἄγγελος Γναθαήλ	δαίμων Κλινότιος.
ὥρα η′	ἄγγελος Περγανιήλ	δαίμων Τυρρύτωρ.
ὥρα θ′	ἄγγελος Γεστιήλ	δαίμων Πληλατάν.
[f. 244ᵛ] ὥρα ι′	ἄγγελος Λεγμιέλ	δαίμων Σύθλος.
ὥρα ια′	ἄγγελος Ναχωήλ	δαίμων Ὀσθριδίε.
ὥρα ιβ′	ἄγγελος Ὀκνᾶν	δαίμων Ὀμιμότ.
ὥρα ιγ′	ἄγγελος Γορφίλ	δαίμων Ἀπρώξ.
ὥρα ιδ′	ἄγγελος Πατιήλ	δαίμων Σκωήν.
ὥρα ιε′	ἄγγελος Παρτάν	δαίμων Προφαΐ.
ὥρα ις′	ἄγγελος Σαλτιέλ	δαίμων Ἀχλιτώλ,
ὥρα ιζ′	ἄγγελος Ἀβαήλ	δαίμων Ὀρνάν.
ὥρα ιη′	ἄγγελος Στραγιήλ	δαίμων Χαλμώθ.
ὥρα ιθ′	ἄγγελος Ὀπαδουήλ	δαίμων Τουδδεδήν.
ὥρα κ′	ἄγγελος Μαρνιήλ	δαίμων Τεφρά.
ὥρα κα′	ἄγγελος Μεθνιήλ	δαίμων Νιράν.
ὥρα κβ′	ἄγγελος Στιρωήλ	δαίμων Ῥακιρώ.
ὥρα κγ′	ἄγγελος Ἰσματιήλ	δαίμων Ἰργοτιέ.
ὥρα κδ′	ἄγγελος Τριζιωήλ	δαίμων Γηγαώρ.

Τῆς τετάρτης ἄγγελοι καὶ δαίμονες.

ὥρα α′	ἄγγελος Οὐριήλ	δαίμων Λουτζιφέρ.
ὥρα β′	ἄγγελος Ἀρακήλ	δαίμων Γουκουμώρ.
ὥρα γ′	ἄγγελος Μιεμφιήλ	δαίμων Εἰσπνίρυξ.
ὥρα δ′	ἄγγελος Τρωσιέλ	δαίμων Μιδωκήτ.

7 κήνυψ ante Κυκνίτ del. librar.

	ὥρᾳ ε′	ἄγγελος Χαρτισιέλ	δαίμων Νταδαδίφ.
	ὥρᾳ ς′	ἄγγελος Σφυκινοήλ	δαίμων Σκιντογήρ.
	ὥρᾳ ζ′	ἄγγελος Οὐλωδίας	δαίμων Φνιδωτάς.
	ὥρᾳ η′	ἄγγελος Καλβαγιέλ	δαίμων Καρατάν.
	ὥρᾳ θ′	ἄγγελος Σκιταμιήλ	δαίμων Μιάγ.
	ὥρᾳ ι′	ἄγγελος Τιρωήλ	δαίμων Γατζάρ.
	ὥρᾳ ια′	ἄγγελος Μιέλ	δαίμων Πνίδωρ.
	ὥρᾳ ιβ′	ἄγγελος Χαρακιήλ	δαίμων Τοιβλάς.
	ὥρᾳ ιγ′	ἄγγελος Ὑδρωήλ	δαίμων Ταξιπῶν.
	ὥρᾳ ιδ′	ἄγγελος Σιδρήλ	δαίμων Ὀφιτᾶν.
[f. 245]	ὥρᾳ ιε′	ἄγγελος Παραπιήλ	δαίμων Ἀβλυχός.
	ὥρᾳ ις′	ἄγγελος Μουρουήλ	δαίμων Μαλακίς.
	ὥρᾳ ιζ′	ἄγγελος Κουρταήλ	δαίμων Βλεμίγχ.
	ὥρᾳ ιη′	ἄγγελος Κουπεήλ	δαίμων Χειρών.
	ὥρᾳ ιθ′	ἄγγελος Περανιήλ	δαίμων Ἔφιππας.
	ὥρᾳ κ′	ἄγγελος Σανταήλ	δαίμων Ὀρκιστάφ.
	ὥρᾳ κα′	ἄγγελος Κατζιέλ	δαίμων Λογινάφ.
	ὥρᾳ κβ′	ἄγγελος Λουλιέλ	δαίμων Φαρώς.
	ὥρᾳ κγ′	ἄγγελος Σαλταήλ	δαίμων Ῥοκτάτ.
	ὥρᾳ κδ′	ἄγγελος Γαβτέλ	δαίμων Ὀπνάξ.

Τῆς πέμπτης ἄγγελοι καὶ δαίμονες.

	ὥρᾳ α′	ἄγγελος Ῥαφαήλ	δαίμων Μελτιφρών.
	ὥρᾳ β′	ἄγγελος Περνιφέλ	δαίμων Ὀχλός.
	ὥρᾳ γ′	ἄγγελος Κισφαήλ	δαίμων Οὐήρος.
	ὥρᾳ δ′	ἄγγελος Καλιήλ	δαίμων Θαφώτ.
	ὥρᾳ ε′	ἄγγελος Γλῶστας	δαίμων Τζιππάτ.
	ὥρᾳ ς′	ἄγγελος Μνιμεήλ	δαίμων Ἀμώρ.
	ὥρᾳ ζ′	ἄγγελος Χαλριήλ	δαίμων Ὄρφωρ.
	ὥρᾳ η′	ἄγγελος Σκιαήλ	δαίμων Οὐταήτ.
	ὥρᾳ θ′	ἄγγελος Μισοέλ	δαίμων Ἐργώτας.
	ὥρᾳ ι′	ἄγγελος Δαλβώθ	δαίμων Ἀζουβούλ.
	ὥρᾳ ια′	ἄγγελος Χαρτωήλ	δαίμων Ἀπλήξ.
	ὥρᾳ ιβ′	ἄγγελος Κιφάρ	δαίμων Σίγως.
	ὥρᾳ ιγ′	ἄγγελος Σιτιοήλ	δαίμων Ἀσμωδάς.
	ὥρᾳ ιδ′	ἄγγελος Βοκιέλ	δαίμων Οὐώχ.
	ὥρᾳ ιε′	ἄγγελος Σενοήλ	δαίμων Νικοκέπ.
	ὥρᾳ ις′	ἄγγελος Ὁριατόρ	δαίμων Κοπινός.
	ὥρᾳ ιζ′	ἄγγελος Χυμεριήλ	δαίμων Καητέ.
	ὥρᾳ ιη′	ἄγγελος Ὀρφνιήλ	δαίμων Λάστωρ.
	ὥρᾳ ιθ′	ἄγγελος Κιδουήλ	δαίμων Ἐπιή.
f. 245v]	ὥρᾳ κ′	ἄγγελος Γόθ	δαίμων Ὀργάν.

	ὥρᾳ κα′	ἄγγελος Φισναέλ	δαίμων Νιεριέρ.
	ὥρᾳ κβ′	ἄγγελος Καρααήλ	δαίμων Οὐαλιέλος.
	ὥρᾳ κγ′	ἄγγελος Κωνδάρ	δαίμων Γαλιελιώρ.
	ὥρᾳ κδ′	ἄγγελος Κισπώλ	δαίμων Χουκάν.

Τῆς παρασκευῆς ἄγγελοι καὶ δαίμονες.

	ὥρᾳ α′	ἄγγελος Ἀγαθουήλ	δαίμων Γουλίων.
	ὥρᾳ β′	ἄγγελος Νιδουήλ	δαίμων Βιζήκ.
	ὥρᾳ γ′	ἄγγελος Ἀμφιλοήλ	δαίμων Ζορζοράθ.
	ὥρᾳ δ′	ἄγγελος Κανικέλ	δαίμων Ῥαφιώφ.
	ὥρᾳ ε′	ἄγγελος Σελινιέλ	δαίμων Ἑρμάγ.
	ὥρᾳ ς′	ἄγγελος Καρκανφέρ	δαίμων Κερινούδαλος.
	ὥρᾳ ζ′	ἄγγελος Ἀνιέλ	δαίμων Ταβαλταλίς.
	ὥρᾳ η′	ἄγγελος Μουριήλ	δαίμων Θάπνιξ.
	ὥρᾳ θ′	ἄγγελος Τοφατιήλ	δαίμων Ἐλιασέμ.
	ὥρᾳ ι′	ἄγγελος Σκιρτουήλ	δαίμων Ἀμίχ.
	ὥρᾳ ια′	ἄγγελος Ἀρμωήλ	δαίμων Γαλγιδών.
	ὥρᾳ ιβ′	ἄγγελος Ὀτραήλ	δαίμων Ἐφιρίτ.
	ὥρᾳ ιγ′	ἄγγελος Ταλκιδόνιος	δαίμων Στραγέτ.
	ὥρᾳ ιδ′	ἄγγελος Ῥουδιήλ	δαίμων Ἄνθηρος.
	ὥρᾳ ιε′	ἄγγελος Θηκιέλ	δαίμων Πηζητός.
	ὥρᾳ ις′	ἄγγελος Γλυκιδώλ	δαίμων Ἀπρίξ.
	ὥρᾳ ιζ′	ἄγγελος Ψαλμάτιος	δαίμων Νίφων.
	ὥρᾳ ιη′	ἄγγελος Σταυφνήλ	δαίμων Ὀτρίχος.
	ὥρᾳ ιθ′	ἄγγελος Δεαυκῶν	δαίμων Χιμερί.
	ὥρᾳ κ′	ἄγγελος Ἀσφοδήλ	δαίμων Μέλυ.
	ὥρᾳ κα′	ἄγγελος Πετιλώλ	δαίμων Καπνιθέλ.
	ὥρᾳ κβ′	ἄγγελος Γοργιέλ	δαίμων Ταχμάν.
	ὥρᾳ κγ′	ἄγγελος Βαταανιήλ	δαίμων Οὐκισέμ.
	ὥρᾳ κδ′	ἄγγελος Πολιῶν	δαίμων Οὐνιφρήρ.

[F. 246.] Τοῦ σαββάτου ἄγγελοι καὶ δαίμονες.

	ὥρᾳ α′	ἄγγελος Σαβαπιέλ	δαίμων Κληνδατώρ.
	ὥρᾳ β′	ἄγγελος Σαλωήλ	δαίμων Χειρίμ.
	ὥρᾳ γ′	ἄγγελος Βεσαήλ	δαίμων Σπινδώρ.
	ὥρᾳ δ′	ἄγγελος Ἀβαήλ	δαίμων Κεριάκ.
	ὥρᾳ ε′	ἄγγελος Γιελμῶν	δαίμων Νικέμ.
	ὥρᾳ ς′	ἄγγελος Ῥεταήλ	δαίμων Μωριήλ.
	ὥρᾳ ζ′	ἄγγελος Πελαφιήλ	δαίμων Συνιγειρώμ.
	ὥρᾳ η′	ἄγγελος Σαμωσάν	δαίμων Ἄφιος.

22 Ὁ Τρίχος ante Νίφων del. librar.

ὥρᾳ θ′	ἄγγελος Πλετανίξ	δαίμων Θόριος.
ὥρᾳ ι′	ἄγγελος Μαρμιχαήλ	δαίμων Στελφά.
ὥρᾳ ια′	ἄγγελος Ντεχάριγξ	δαίμων Κυπῶς.
ὥρᾳ ιβ′	ἄγγελος Ἀρκιήλ	δαίμων Σκάρ.
ὥρᾳ ιγ′	ἄγγελος Γεαβιήλ	δαίμων Τηχάρ.
ὥρᾳ ιδ′	ἄγγελος Πιτριέλ	δαίμων Ἀκρώκ.
ὥρᾳ ιε′	ἄγγελος Γολγοήλ	δαίμων Ἀργιτάν.
ὥρᾳ ις′	ἄγγελος Σανιπιήλ	δαίμων Ἀτόμεος.
ὥρᾳ ιζ′	ἄγγελος Βελαραήλ	δαίμων Γνῶτας.
ὥρᾳ ιη′	ἄγγελος Ὀπιαέλ	δαίμων Μερκοῦ.
ὥρᾳ ιθ′	ἄγγελος Ὀφχινήλ	δαίμων Ἐναριτάρ.
ὥρᾳ κ′	ἄγγελος Πατριήλ	δαίμων Νιουχάν.
ὥρᾳ κα′	ἄγγελος Ἰανιήλ	δαίμων Ἄμφου.
ὥρᾳ κβ′	ἄγγελος Κονδιηνήλ	δαίμων Μάνκως.
ὥρᾳ κγ′	ἄγγελος Ουξουνουήλ	δαίμων Μοιγρῶν.
ὥρᾳ κδ′	ἄγγελος Θαναήλ	δαίμων Νιγρίσφ.

Μέθοδόν σοι γοῦν ἐγχαράσσω τοῦ γινώσκειν σε ἀκριβέστατα, Ῥοβοάμ, ὅτι χρὴ πάντως γινώσκειν τὴν ὥραν ἐν ᾗ βούλει ποιῆσαι τὸ σὸν θέλημα· πρῶτον εἰπὲ τὴν προσευχὴν τοῦ πλανήτου [1] ἐκείνου τοῦ εὑρισκομένου ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἔπειτα ὅρκιζε [f. 246v] τὸν ἄγγελον καὶ τὸν ὑπηρέτην, ἤγουν τὸν δαίμονα. ἔστι δὲ ἡ προσευχὴ τοῦ Κρόνου αὕτη.

Προσευχὴ τοῦ Κρόνου.

Ὁ θεὸς ὁ αἰώνιος, τὸ ἄσχετον κράτος, ὁ πάντα οἰκονομῶν ἐπὶ τὰ τῆς ἡμῶν σωτηρίας, δὸς ἡμῖν χάριν, ἵνα ὑποτάξω τὸν δεῖνα πλανήτην εἰς τὸ ἐμὸν θέλημα. ὁρκίζω σε, πλανῆτα Κρόνε, εἰς τὴν ὁδόν σου καὶ εἰς τὸν ἀέραν σου καὶ εἰς τὴν κληρονομίαν σου καὶ εἰς τὸν οὐρανόν

4 Τηχάρ ante Σκάρ del. librarius. 9 Βεράλα ante Βελαραήλ del. librarius 17 ἐγχαράσω cod. 18 Ἱεροβοάμ cod. πάντως] ἄμφω cod., corr. Weyh. 21 ἔπειτα ὅρκιζε ante ἔστι del. librar. 22 in marg. signum Saturni. 23 τὸν ἀ. κρ. cod. 24 ὑποτάξω] cf. Kenyon, *Greek Pap. in the Br. Mus.*, I, p. 70, vers. 164. De ὑποτάσσειν conf. Fr. Pfister, *Philol. N. S.*, 23, 1910, p. 416 sq.

[1] De Planetarum cultu conf. E. Maass, *Die Tagesgötter in Rom und den Provinzen*, Berlin 1902, passim et Roscher, *Lex. mythol.*, III, 2, p. 2528. Cf. etiam Reitzenstein, *Poimandres*, p. 187 et imprecationes Planetarum, quae infra ex cod. Parisino 2419, f. 277 seqq. edentur. Comparare licet quoque imprecationes papyris magicis insertas hymnosque magicos a Millero et Partheyo editas et quibus aliis precibus e. g. Harranitae (cf. Chwolson, *Die Ssabier*, t. II, passim) Planetas adire solebant. Nulla omnino his orationibus intercedit necessitudo cum fine primi libri Firmici Materni, quem Ciceronis Somnium Scipionis imitatum esse demonstravit F. Boll, *Philologus, N. S.*, 23, 1910, p. 170 sqq.

σου καὶ εἰς τὴν λάμψιν καὶ ἐνέργειάν σου καὶ εἰς τὰ ὀνόματά σου ταῦτα· Γασιάλ, Ἀγουνσαέλ, Ἀτασσέρ, Βελτολιέλ, Μεντζατζιά, ἵνα μοι δώσεις χάριν καὶ ἐνέργειαν καὶ δύναμιν εἰς τὴν ὥραν, ἐν ᾗ κυριεύεις.

Προσευχὴ τοῦ Διός.

Κύριε καὶ θεέ, πάτερ παντοκράτωρ, ὁ δημιουργὸς ὁρατῶν καὶ ἀοράτων, ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων, ἐπίδος ἡμῖν δύναμιν χάριτος, ἵνα ὁ Ζεὺς ὑποταγῇ ἡμῖν, ὅτι πάντα δύνατά σοι, κύριε. ὁρκίζω σε, Ζεῦ, εἰς τὴν σοφίαν σου καὶ εἰς τὴν γνῶσίν σου καὶ εἰς τὴν ἰαματικήν σου ἐνέργειαν καὶ εἰς τὴν οὐράνιον πορείαν, ἐν ᾗ περιπατεῖς, καὶ εἰς τὰ ὀνόματα ταῦτα· Ἀνώφ, Ὀρσιτά, Ἀτνόξ, Ὀνιγευι, Ἀτζινιέλ, Ἀνκανιτεῖ, Τυνεός, Γενιέρ, Κανιπτζά, ἵνα ὑποκλίνῃς ἐν ἐμοὶ τὴν χάριν σου εἰς τὴν δουλείαν ταύτην, ἐν ᾗ ποιῶ.

Προσευχὴ τοῦ Ἄρεως.

Ὁ θεὸς ὁ φοβερός, ὁ θεὸς ὁ ἀδιήγητος, ὁ θεὸς ὁ ἀθεώρητος, ὃν εἶδεν οὐδεὶς τῶν ἀνθρώπων οὐδὲ ἰδεῖν δύναται, ὃν οἱ ἄβυσσοι ἰδόντες ἔφριξαν καὶ οἱ ζῶντες ἀπενεκρώθησαν. Χαρίτωσον ἡμᾶς, ἵνα δυνηθῶμεν ὑποτάξαι τὸν Ἄρεα τὸν πλανήτην. Ὁρκίζω σε, Ἄρη πυρινέ, εἰς τὸν θεὸν τὸν κτίσαντα τὰς νοερὰς οὐσίας καὶ πᾶσαν τὴν πυρινὴν στρατιάν· ὁρκίζω σε εἰς τὰς ἐνεργείας σου καὶ εἰς τὴν ὁδοιπορίαν σου καὶ εἰς τὴν λάμψιν σου καὶ εἰς τὰ ὀνόματα ταῦτα· Οὐτάτ, Νουήτ, Χορηζή, Τινιαή, [f. 247] Δαχλί, Ἀμπιρά, Νολιέμ, Σιάτ, Ἀδιχαήλ, Τζανάς, Πλησύμ, ἵνα μοι δώσῃς τὴν χάριν σου διὰ ταύτην τὴν δουλείαν.

4 in marg. signum Iovis. 5 παντοκράτωρ] cf. Kenyon, l. c., p. 114 vers. 963, p. 105 v. 668, p. 202 v. 48, p. 223 v. 10 et Th. Schermann, *Griech. Zauberpap.*, p. 23. δημιουργός] cf. Schermann, l. c., p. 23. 6 βασιλεύς - κυριευόντων] cf. Schermann, *Die griech. Kyprianosgebete* (*Oriens Christianus*), III, 1903, p. 311 v. 3 et 4. 14 in marg. signum Martis. 15 ἀδιήγητος] cf. Schermann, *Gr. Zauberp.*, p. 18, adn. 2. ἀθεώρητος] cf. Schermann, l. c., p. 29. 16 εἶδεν - δύναται] cf. Schermann, *Kyprianosgebete*, l. c., p. 311 ὃν πρῶτος νοῦς οὐκ εἶδεν οὐδὲ ἰδεῖν δύναται et Greg. Thaumaturg. ap. Schermann, *Griech. Zauberpap.*, p. 18, 4-5 ὃν εἶδεν οὐδεὶς ἀνθρώπων οὐδὲ ἰδεῖν δύναται. 16-17 ὃν - ἔφριξαν] cf. Psalm. LXXVI (LXXVII). 17-18 εἶδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν καὶ ἐταράχθησαν ἄβυσσοι; similia apud Dieterich, *Pap. mag. Lugdun.*, p. 775. 17 χαρίτωσαν cod. 18 πυρινέ] saepissime πυρόεις appellatur. Cf. etiam Chwolson, *Die Ssabier*, II, p. 188 seq. 19 νοερὰς οὐσίας] cf. Origenes, *Fragm. in Proverb.*, Migne, *P. G.*, XIII, p. 29 D: οὐρανὸν ἀπεργάζεται ... ἀγγέλων τε καὶ νοερῶν οὐσιῶν κατοικητήριον et Dionys. Areop., *de div. nominibus*, cap. IV, 1 (Migne, *P. G.*, III, p. 693): αἱ νοηταὶ καὶ νοεραὶ πᾶσαι καὶ οὐσίαι καὶ δυνάμεις καὶ ἐνέργειαι.

Προσευχὴ τοῦ Ἡλίου.

Βασιλεῦ τῶν βασιλευόντων καὶ κύριε τῶν κυριευόντων, ἡ ὑπεράρχιος φύσις, δύναμις ἀέναε, φῶς ἀκατανόητον, φῶς ἄπειρον, ὁ μόνος πλουσιοπάροχος, ὁ χορηγὸς τοῦ ἐλέους, ἐπίσκεψαι ἡμᾶς διὰ τῆς σῆς χάριτος καὶ εὐεργεσίας, ὅπως τὸν παρόντα πλανήτην τὸν Ἥλιον, [ἵνα] δυνηθῶμεν ὑποτάξαι καὶ κατασχεῖν αὐτοῦ τὴν ἐνέργειαν· ὁρκίζω σε Ἥλιε ἄψαυστε, ἀκατέργαστε, ἡμεροφεγγής, εἰς τὸν χρονικόν σου κύκλον καὶ εἰς τοὺς τέσσαράς σου καιροὺς καὶ εἰς τὴν ὁδόν σου καὶ εἰς τὰς ἀκτῖνάς σου καὶ εἰς τὰς πτέρυγάς σου καὶ εἰς τὰς ἐνεργείας σου καὶ εἰς τὰ ὀνόματά σου ταῦτα· Γλιβιώδ, Ἀντικόν, Λιθετιούδ, Ἀχριπάλ, Ἐλβιούλ, Αὐτιούρ, Νοτιωλιοσήμ, Ὠωγήν, Γωδασώρ, Τουλδωράφ, Ἠνωάν· εἰς ταῦτα τὰ ὀνόματα ὁρκίζω σε μὴ παρακούσῃς μου, ἀλλὰ διὰ τῆς χάριτος τῆς σῆς συνέργησον εἰς ταύτην τὴν δουλείαν.

Προσευχὴ τῆς Ἀφροδίτης.

Ὁ θεὸς ὁ μόνος ἀγαθός, ὁ ἀνεξίκακος ἐν φιλανθρωπίᾳ, ὁ ὑπεράπειρον ἔχων τῆς ἀγαθότητος τὸ ἀνεξιχνίαστον πέλαγος, παρ' οὗ τῆς φιλίας ἡ εὐσπλαγχνία, προσπίπτω τῇ σῇ φιλανθρωπίᾳ, ἵνα δώσῃς ἡμῖν δύναμιν καὶ χάριν, ἵνα τὴν ἐνέγρειαν χρηστὴν καὶ πεπληρωμένην δώσῃς εἰς ἐμὲ τὸν πλανήτην τοῦτον, διὰ νὰ ποιήσω τάδε· ὁρκίζω σε, ὡραιοτάτη καὶ γλυκεῖα Ἀφροδίτη εἰς τὴν χάριν σου καὶ εἰς τὴν ὁδόν σου καὶ εἰς τὴν ἐνέργειάν σου καὶ εἰς τὴν γλυκύτητά σου καὶ εἰς τὰ ὀνόματα ταῦτα· Ἠρέθ, Λαβάμ, Συάρ, Σατήρ, Τοῦιδ, Τουτιμάρ, Ῥεσφοδώμ, Σιρώφ, Κακέμ, Σετιάπ. εἰς ταῦτα δὲ ὁρκίζω σε, ἵνα μὴ παρακούσῃς μου, ἀλλὰ τὴν σὴν χάριν ἔμοιγε δώσῃς, ὅπως τὸ δεῖνα ποιήσω.

Προσευχὴ τοῦ Ἑρμοῦ.

Παντοκράτωρ κύριε, ὁ εὑρετὴς τῆς σοφίας καὶ τῆς γνώσεως, [f. 247v] ὁ τῶν οὐρανίων καὶ ὑπερουρανίων τεχνίτης, παντεπόπτα καὶ

1 in margine signum Solis. 2 ὑπεράρχιος] cf. Ps.-Dionys. Areop., *de coel. Hierarchia*, cap. I, ap. Migne, *P. G.*, III, p. 121 A. 4 πλουσιοπάροχος videtur verbum novum esse. 5 ἵνα inclusi. 8 καὶ εἰς - ὁδόν σου omis. librarius, sed addidit in margine. τὰς τέσσαράς σου κ. cod. 9 ἀκτίνασου cod. πτέρυγάσου cod. Cf. Orphica fr. 49, 3 Abel : Ἥλιε χρυσέῃσιν ἀειρόμενε πτερύγεσσιν. ἐνεργείασου cod. 14 in margine signum Veneris. 15 ἀνεξίκακος] cf. 2 Tim. 2, 24; ἀλεξίκακος? Cumont. 16 ἀνεξιχνίαστον] Ro. 11, 33. 17 φιλανθρωπία (λ in ras.) corr. ex φιλανθρωπίαν. 21 γλυκυτάτη σου cod. 24 μου] μοι cod. 25 in margine signum Mercurii. 26 παντοκράτωρ] cf. Kenyon, l. c., p. 105 v. 668 Ἑρμῆ παν[το]κράτωρ et Kaibel, *Ep.* 815, 11. 27 ὁ τῶν οὐρανίων ... τεχνίτης] haec bene convenire adnotat Cumont in Tôt deum, quem mundum creasse Aegyptii putant. Cf. etiam invocationem Mercurii, ap. Reitzenstein, *Poimandres*, p. 23 : ἐπικαλοῦμαι σε τὸν πάντα κτίσαντα ... τὸν πάντα ὁρῶντα καὶ πάντα ἀκούοντα, et quae Reitzenstein l. c., adn. 2 et 4 exponit.

παντοδύναμε, εὐεργέτησον ἡμῖν χάριν, οἵαν τοῦ σοῦ πλανήτου Ἑρμοῦ ἐγκατέλιπες, ἵνα δυνηθῶμεν πρᾶξαι τὸ δεῖνα· ὁρκίζω σε, Ἑρμῆς πάνσοφε, λογιώτατε καὶ συνετώτατε, εὐσύναπτε καὶ ἐγρηγορώτατε, εἰς τὴν σοφίαν σου καὶ εἰς τὴν λογιότητά σου καὶ εἰς τὴν ζώνην, ἐν ᾗ περιπατεῖς, καὶ εἰς τὰ ὀνόματα ταῦτα· Νηφᾶν, Πιοῦτ, Νομήν, Σελάκ, Μερεπῶν, Στεμηνός, Καζητόκ, Μιώτ, ἵνα μοι ὑποκλίνῃς τὴν χάριν σου καὶ τὴν ἐνέργειάν σου εἰς τὴν πρᾶξιν ταύτην, ἐν ᾗ βούλομαι ποιῆσαι.

Προσευχὴ τῆς Σελήνης.

Δέσποτα κύριε, ὁ δεσπόζων ζώντων τε καὶ νεκρῶν, ὁ ἐν σοφίᾳ κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων ἐν ὁσιότητι καὶ συνέσει, συνέργησόν μοι, ἵνα δυνηθῶ ὁ δοῦλός σου χάριν λαβεῖν καὶ ὑποτάξαι τὸν πλανήτην τὴν Σελήνην καὶ τελειῶσαι τὸ ἔργον, ὃ ἐπεχειρίσθην· ὁρκίζω σε Σελήνην, τοῦ οὐρανοῦ ὡραιοτάτη πορφύρα καὶ τῆς νυκτὸς παραμυθία. ὁρκίζω σε εἰς τὴν ὁδόν σου καὶ εἰς τὴν ἀνακαίνισίν σου καὶ εἰς ἀναμετρήτους βαθμούς, ἐν οἷς κατέρχει, καὶ εἰς τὰ ὀνόματα ταῦτα· Σαβαήλ, Βοαήλ, Ὠνιτζήρ, Σπαροῦ, Σωρτήρχα, Γαβήδ, Οὐτουπών, Καιπολής, Γωμεδήν, Μαρηβάτ. εἰς ταῦτα σε ὁρκίζω, Σελήνη, ἵνα μοι ὑποκλίνῃς τὴν χάριν σου καὶ τὴν ἐνέργειάν σου εἰς τὴν δουλείαν ταύτην, ἐν ᾗ ἐπιχειρίζομαι.

Προσευχὴ τῶν ἀγγέλων.

Ὅταν θέλῃς νὰ ὁρκίσῃς ἄγγελον καὶ δαίμοναν εἰς τὴν ὥραν, ἣν κυριεύουσιν, ὅρκιζε αὐτοὺς οὕτως.

Ὁρκίζω σε, ὦ ἄγγελε δεῖνα, ὅστις κυριεύεις τὴν ὥραν ταύτην καὶ εἶ σὺ βαλλόμενος πρὸς πρόβλεψιν καὶ ὑπουργίαν τοῦ ἀνθρωπίνου γένους, δεῖνα, ὁ πάντοτε πρόθυμος, δυνατὸς καὶ ἀνδρεῖος καὶ ὀξύς, ὁρκίζω σε εἰς τὸν θεόν, ὅς σε ἔταξε φυλάττειν τὴν ὥραν ταύτην, ἵνα εἶσαι σύνεργός μου μετὰ τοῦ ὑποτακτικοῦ σου [f. 248] τοῦ δεῖνα δαίμονος, ὃς ἐπροετάχθη νὰ ἔναι δοῦλος εἰς τὴν ὥραν ταύτην καὶ ἐσὺς νά μοι συνεργήσεται καὶ νὰ ποιήσεται τὴν δουλείαν ταύτην, νὰ ἔναι δόκιμος, καλὴ καὶ ἀληθινή.

Γίνωσκε, ὦ ἀκριβέστατε υἱὲ Ῥοβοάμ, ἵνα, ὅταν βουληθῇς τοῦ ἐπιχειρίσαι ἔργον τι, τυχαίνῃ νὰ γινώσκεις τὸν πλανήτην του καὶ τὴν ὥραν. καὶ πρῶτον εἰπὲ τὰς προσευχάς, τότε ὅρκιζε τὸν ἄγγελον καὶ τὸν

2-3 πάνσοφε] cf. Manetho 5 (6), 2. 3 λογιώτατε] cf. Theodorus Prodromus v. 343, in *Notices et Extraits d. Manuscr.*, XXIII, 2, p. 24 et Cougny, *Anthol. epigr. app.*, III, 240, 6. 6 μου cod. 8 in margine signum Lunae. 8-19 Editum apud Roscher, *Selene u. Verwandtes*, p. 175 seq. 9 τε in ras. τοῖς ante σοφίᾳ del. librar. 16 κατέρχεται cod. 18 μου cod. 19 ᾗ] ᾧ cod. 21-22 ἄγγελον - οὕτως omis. librarius, add. in margine. 26 ὅς] ὅν cod. 29 μου cod. 31 βουληθῇς cod.

δαίμονα τῆς ὥρας ἐκείνης, νὰ εἶναι σύνεργόν σου εἰς ἐκεῖνο τὸ θέλεις ποιῆσαι τότε ποίησαι τὰς χαρακτήρας τοῦ πλανήτου μετὰ τῶν μελανίων καὶ καπνισμάτων τοῦ καθ' ἑνός. καὶ ὁ ἔχων ἐξουσίαν τῆς, ὁ κύριος τῆς ὥρας παρέχει σοι.

Αἱ χαρακτῆραι τοῦ Κρόνου.

Τὰς χαρακτήρας τοῦ Κρόνου ποίησε μετὰ τῆς σκουρίας τοῦ μολίβδου καὶ μετὰ ὄξους καὶ κάπνιζε τιάφην αὐτάς. Γράψε δὲ αὐτὰς εἰς χαρτὶ τράγινον[1]. [Sequuntur signa magica, cf. tab. I.]

Αἱ χαρακτῆραι τοῦ Διός.

Τὰς χαρακτήρας τοῦ Διὸς ποίησε μετὰ ἀργυρίου σκουρίας καὶ μετὰ ῥοδοστάγματος καὶ κάπνισον αὐτὰς σμύρναν καὶ γράψε αὐτὰς εἰς χαρτὶ βοϊνὸν ἀγέννητον. [Sequuntur item signa magica.]

Αἱ χαρακτῆραι τοῦ Ἄρεως.

Τὰς χαρακτήρας τοῦ Ἄρεως γράψε μετὰ κινναβάρεως καθαρᾶς καὶ μετὰ ῥοδοστάγματος καὶ κάπνισον αὐτὰς αἷμα ἀνθρώπινον ξηρὸν καὶ γράφε ἐπάνω εἰς φώκης ἢ γυπὸς δέρμα καὶ ὁ ἔχων ἐξουσίαν δίδωσί σοι. [Sequuntur item signa magica.]

[F. 248v.] Αἱ χαρακτῆραι τοῦ Ἡλίου.

Τὰς χαρακτήρας τοῦ Ἡλίου γράψε μετὰ χρυσίου ἢ μετὰ ἀρσενικοῦ σχιστοῦ καὶ ὕδατος· κάπνισον αὐτὰς μοσχοκάρυον καὶ γράφε αὐτὰς εἰς χαρτὶ κοιταρίου ἀνθρώπου ἢ εἰς δέρμα ἵππου. [Sequuntur item signa magica]

Αἱ χαρακτῆραι τῆς Ἀφροδίτης.

Τῆς Ἀφροδίτης αἱ χαρακτῆραι ὑπάρχουσι καὶ γράφε αὐτὰς μετὰ αἵματος νυκτερίδος ἢ μετὰ λαζουρίου ἀδόλου καὶ ῥοδοστάγματος

1 σύνεργοί σου cod. ἐκείνω cod. 5 in margine signum Saturni. 6 σκουρίας vulg. pro σκωριᾶς. 7 χαρτή cod. 9 in margine signum Iovis. 10 σκουρίαν cod. 11 et 25 ῥοδοστάματος cod. 12 χαρτή cod. βοϊνὸν ἀγέννητον cod., fort rectius βοϊνοῦ ἀγεννήτου. 13 in margine signum Martis. 14 Ἄρεως] ἔαρος cod. κιναβάρεως cod. 16 ἠγυπτός cod. 18 in margine signum Solis. 21 χαρτήν cod. 23 in margine signum Veneris. 25 λαζουρίου] cf. Ducange s. v. ῥοδοστάματος cod.

[1] Similia signa sphragistica inveniuntur etiam in papyris magicis Graecis, in Abraxas quae dicuntur gemmis in aliisque libris; cf. e. gr. excerptum Hermeticum περὶ παιωνίας, quod infra ex cod. Vaticano edetur. Cf. etiam Kenyon, l. c., p. 97-99, 110-114, 122 et passim.

εἰς χαρτὶ κυνὸς ἢ εἰς χαρτὶ ἐλαφινὸν ἀγέννητον καὶ κάπνισον αὐτὰς μαστίχην καὶ λάβανον. [Sequuntur item signa magica.]

<Αἱ χαρακτῆραι τοῦ Ἑρμοῦ.>

Τοῦ Ἑρμοῦ <αἱ> χαρακτῆραι γράφονται μετὰ αἵματος βοὸς ἢ ὄνου ἢ προβάτου ἢ μετὰ ἰαρίου καὶ ὕδατος εἰς χαρτὶ παρθένων καὶ κάπνισον αὐτὰς λαγωοῦ δέρμα καὶ λίβανον. [Sequuntur item signa magica.]

<.....>

Τοῦ Κριοῦ[1] τὸ βότανόν ἐστιν τὸ μυριόφυλλον· ἔχει δὲ δύναμιν θαυμαστὴν ὁ ζωμὸς αὐτοῦ σμιγεὶς μετὰ ῥοδινοῦ ἐλαίου, ὅταν κυριεύει <τὸ> αὐτὸ ζῴδιον, καὶ πληγὴν θανάσιμον ἀπὸ μαχαίρας διὰ τριῶν ἡμερῶν ὑγιῆ ἀποκαταστήσει· τοῦ δὲ ζωμοῦ αὐτοῦ ἀλειφομένου τὰ πνεύματα τὰ κακὰ λυσιτελοῦσι πρὸς αὐτὸν ἔχοντα αὐτά. ποιεῖ καὶ εὖ ἔχοντα πρὸς αὐτόν. ἡ δὲ ῥίζα περιαπτομένη τὸν δεξιὸν βραχίονα χαριέστατον ποιεῖ τὸν βαστάζοντα αὐτὴν καὶ πᾶσα λύπη ἀπὸ τὸν φοροῦντα διωχθήσεται.

]F. 249] Τὸ βότανον τοῦ Ταύρου ἐστὶ τὸ τριφύλλιον· τοῦτο δὲ ἔπαρον, ὅταν κυριεύει τὸ αὐτὸ ζῴδιον, ἤγουν ὁ Ταῦρος. ἔχει δὲ ἐνεργείας τοιαύτας· τὸν καρπὸν αὐτοῦ καὶ τὰ ἄνθη βάλε εἰς δέρμα ἀγέννητον βοὸς καὶ βάσταζε ὅταν ὑπάγεις εἰς βασιλεῖς καὶ εἰς αὐθέντας καὶ ἄρχοντας καὶ ἔχεις μεγάλην τιμήν. τὰ δὲ φύλλα αὐτῶν ἀλειφόμενα <...>· ὁ ζωμὸς τοὺς ὀφθαλμοὺς <καὶ> πάντα πόνον ὀφθαλμῶν

1 χαρτήν cod. 3 Αἱ χαρακτῆραι τοῦ Ἑρμοῦ om. librarius. in margine signum Mercurii. 4 αἱ addidi. 7 Characteres Lunae omisit librarius. Conf. simillimum capitulum, quod ex altero codice Atheniensi N. G. Polites, edidit apud Roscher, *Über Selene und Verwandtes*, p. 176 adn.: Ἰδοὺ οἱ χαρακτῆρες τῆς σελήνης ☾. Τοῖς χαρακτῆρες γράψον μὲ κρόνον (?) καὶ μόσκον καὶ ῥοδόσταμον καὶ μετὰ γαίματος ἀνθρώπου εἰς χάρτην κουνελίου ἢ παμπάκινον καὶ κάπνισον αὐτὸ μετὰ στύρακα καὶ χαλβάνιν. [Sequuntur signa sphragistica]. Ἰδοὺ καὶ τὸ μελάνι τῆς σελήνης. Τὸ μελάνι τῆς σελήνης γίνεται μὲ τὸ ζουμὶ τῆς ἐληᾶς καὶ ὀρειοπάρπαρον (?) καὶ καμφουρὰν καὶ γαῖμα λαοῦ· τρίψας καὶ ἑνώσας αὐτὰ καὶ ποῖσον μελάνιν καὶ γράφε εἰς τὴν ὥραν ὁποῦ κυριεύει ἡ σελήνη. 8 βοτάνη cod. 10 τό add. 11 ὑγιεῖ ἀποκαταστήσεις cod. ὁ δὲ ζωμὸς αὐτοῦ ἀλειφόμενος τὰ πν. τ. κ. λυσιτελοῦσι πρὸς αὐτὸν ἔχοντα αὐτά cod., corr. Cumont. 13 τὸ δεξιὸν βρ. cod. 14 πᾶσαν λύπη cod. 17 τὸ αὐτῷ Ζ. cod. 21 post ἀλειφόμενα lacunam indicavi. τὸν ζωμόν cod. καὶ add. πᾶσαν πόνον cod.

[1] Quae sequuntur capitula de plantis et XII zodiis et VII planetis tributis, excerpta sunt ex libris Hermeticis, quales iam Galenus, περὶ ἁπλῶν φαρμάκων *VI prooem.*, tom. IX, p. 798 Kuehn, nominat quique hodie quoque in nonnullis codicibus exstant. Cf. H. Diels, *Die Handschriften der antiken Aerzte*, tom. II, p. 45. De hoc librorum genere nuperrime disputavit Fr. Boll, *Catal.* VII, p. 231 s. Conf. etiam E. Meyer, *Gesch. der Botanik*, tom. II, p. 340-348.

ἰᾶται. ἡ δὲ ῥίζα περιαπτομένη δαίμονας καὶ ἀγελούδας ἀποδίωκει. [Sequuntur in codice septem lineae vacuae.]

Τὸ βότανον τῶν Διδύμων ἐστὶ τὸ ξίφιον· ὅταν δὲ κυριεύει τὸ αὐτὸ ζῴδιον, ἔπαρον αὐτοῦ τὰ ἄνθη καὶ βάλε αὐτὰ εἰς κοιτάριν παιδίου γεννηθέντος καὶ βάσταζε καὶ ἔσῃ ἠγαπημένος ἀπὸ μικρῶν ἕως μεγάλων. τὰ δὲ φύλλα αὐτοῦ περιαπτόμενα δαιμονιζομένους ἰαθήσεται. τὴν δὲ ῥίζαν αὐτοῦ τὴν ἄνωθεν δὸς φαγεῖν ἀνθρώπῳ ἢ ζώῳ, καὶ ἀγαπήσει σε, τὴν δὲ κάτω ῥίζαν ἐπίδος καὶ μισηθήσονται. [Sequuntur septem lineae vacuae.]

Τὸ βότανον τοῦ Καρκίνου ἐστὶν ἡ μανδραγούραν· ταύτην ἔπαρον, ὅταν κυριεύει τὸ αὐτὸ ζῴδιον ὁ Καρκίνος. τὰ ἄνθη τὰ ὦτα ἀλειφόμενα πᾶσαν νόσον κεφαλαλγίας ἰᾶται. τὴν δὲ [f. 249v] ῥίζαν αὐτῆς δίδου φαγεῖν γυναικὶ στείρᾳ σιταρόκουκκα δύο ἀπὸ πρώτης ἡμέρας τῆς καθάρσεως αὐτῆς καὶ μέχρι ἡμερῶν δέκα τεσσάρων καὶ συλλήψεται, καὶ ἂς βαστάζει καὶ ἐκ τῆς βοτάνης. [Sequuntur septem lineae vacuae.]

Τὸ βότανον <τοῦ Λέοντος> ἐστὶν ἡ βαλωτὴ λεγομένη· ταύτην ἔπαρον εἰς τὴν ἡμέραν, ὅπου κυριεύει τὸ ζῴδιον αὐτῆς, καὶ τὸν ζωμὸν λαβὼν ἄλειψον κόκκαλα συνεθλασμένα καὶ δῆσον. καὶ στερεωθήσονται παραδόξως. τὴν δὲ ῥίζαν βάσταζε καὶ ἀγρεύσεις πλείστους ἰχθύας. εἰ δὲ καὶ σμίξεις τὸν ζωμὸν τῶν φύλλων μετὰ ἐλαίου, ἔσται ἀντὶ βαλσάμου ἰδίου. [Sequuntur quinque lineae vacuae.]

Στρύχνος βότανόν ἐστι τῆς Παρθένου· ταύτην ἔπαρον εἰς τὴν ὥραν καὶ ἡμέραν, ὅταν κυριεύει ἡ Παρθένος· καὶ ἔπαρον τὰ φύλλα αὐτῆς καὶ τῶν καρπῶν καὶ ἔσμιξον στέαρ ἄρκιον καὶ ἄλειψον ῥευματιζομένους καὶ παραυτίκα ἰαθήσονται. καὶ ἔπαρον τὰ κλάδη τῆς βοτάνης καὶ ποίησον στέφανον καὶ φόρησον νεανίδαν, καὶ εἰ μὲν γελάσῃ, ἐφθάρη καὶ οὐκ ἔστι παρθένος· εἰ δὲ στυγνάσει ἢ κλαύσει, ἔστι παρθένος· τὴν δὲ ῥίζαν αὐτῆς ἐὰν κλείσεις μετὰ δέρματος λύκου καὶ βαστάζεις, ἔσῃ ἀκαταγώνιστος νικῶν πάντας. [Sequuntur duo lineae vacuae.]

[F. 250] Τοῦ Ζυγοῦ τὸ βότανόν ἐστιν ἡ βελονίκη· ταύτην ἔπαρον, ὅταν κυριεύει ὁ Ζυγός. ἔχει γοῦν ἐνεργείας μεγάλας· ὁ καρπὸς αὐτῆς πινόμενος δαιμονιζομένους καὶ σεληνιαζομένους καὶ λιθιῶντας καὶ στρόφους κοιλίας ἰᾶται. τὰ δὲ φύλλα αὐτῆς ἐσθιόμενα πάντα πόνον

1 ἀγελούδας] cf. Ducange, s. v. Γυλλώ; B. Schmidt, *Das Volksleben der Neugriechen*, I, p. 139; F. Pradel, *Griech. und Südital. Gebete*, p. 90 seq.; P. Maas, *Byz. Zeitschr.*, XVII (1908), p. 224 et 225. 3 ξίφιον] conf. Cyran. ed. Mély, p. 32. 5 γεννηθέντος cod. 7 ἀνθρώπου ἢ ζῴου cod. 11 ὦτα] ὠα cod. 12 αὐτῆς ante ἀλειφόμενα delevi. 13 γυναικὸς στείρας cod. Cf. Machiavellii comoediam famosissimam Mandragola inscriptam. σιταρόκουκα cod. 17 τοῦ Λέοντος addidi. βαλοτή cod., cf. Ducange, s. v. 18 ὁποῦ cod. 19 κόκαλα cod. συθλασμένα cod. δῆσον] δέσωσιν (corr. ex δίδωσιν cod.). 21 φύλλων] φίλων cod. 23 βοτάνη cod. 25 ἀρκίου cod. 25-26 ῥεματιζομένους cod. 34 λιθιώτας cod. 35 πάντα] πᾶσα cod.

τὸν ἐσθίοντα παραδόξως ἰᾶται· ἡ δὲ ῥίζα καπνιζομένη συνάχια καὶ κατάρρους καὶ μάγια ἰᾶται. πάλιν τὴν ῥίζαν περίαψον ἐν δέρματι ἀλωπέκου, καὶ δῆσον ἐν τῷ δεξιῷ βραχίονι καὶ ἔσῃ μὴ φοβούμενος ληστὰς ἤτε δαίμονας. [Sequuntur sex lineae vacuae.]

Τοῦ Σκορπίου τὸ βότανόν ἐστι τὸ κυνόγλωσσον· τοῦτο ἔπαρον, ὅταν ὁ Σκορπίος κυριεύει. ἔχει δὲ δύναμιν θαυμαστὴν καὶ φρικτήν. ἔπαρον γοῦν τὸν σπόρον αὐτοῦ καὶ περίαψον αὐτὸν ἐν ἐλαφινῷ ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος καὶ φανεῖ φοβερὸς καὶ ἔνδοξος. καὶ ὅτι ἂν εἴποις ὡς ψευδές, ὡς θεόν σε πιστεύσουσι. τὰ δὲ φύλλα τρίψας ἔπαρον τὸν ζωμὸν καὶ σμῖξον μετὰ κρίνου ἐλαίου. καὶ ἄλειψον πᾶσαν πληγὴν καὶ παραδόξως ἰᾶται· τὴν δὲ ῥίζαν βάλε ἐν τῇ χειρί σου καὶ κύνες οὐ λακτίσουσί σε. πάλιν τὴν βοτάνην ὁλόκληρον τρίψας ποίησον ἀλειφὴν μετὰ στέατος ἀρκίου καὶ ἄλειψον ῥευματιζομένους καὶ ἐν τρισὶν ἡμέραις ἰαθήσονται. εἰ δὲ ἐκ τῆς ῥίζης δώσεις φαγεῖν παντὶ ζώῳ ἀγρίῳ, ἡμερωθήσεται. ἔχει δὲ καὶ ἑτέρας ἐνεργείας, ἅπερ ἡ πεῖρα φανερώσει αὐτάς. [Sequuntur duo lineae vacuae.]

[F. 250v] Τοῦ Τοξότου τὸ βότανόν ἐστιν ἡ ἀνακάρδιος· ταύτην ἔπαρον, ὅταν τὸ ζῴδιον ὁ Τοξότης κυριεύει. καὶ τυλίξας τὴν ῥίζαν αὐτῆς ὅλην μετὰ ἀλώπεκος δέρμα καὶ βάσταζε κατὰ κεφαλῆς καὶ ἔσῃ νικῶν πάντας διδασκάλους, δικαστάς, κριτάς, βασιλεῖς καὶ τυράννους. τὰ δὲ φύλλα τρίψας ποίησον κηρωτὴν καὶ τίθει εἰς πᾶσαν φλεγμονὴν καὶ πόνον νεφρῶν καὶ ἰαθήσεται παραδόξως, ὥστε θαυμάζειν πάντας. ἔχει δὲ καὶ ἄλλην ἐνέργειαν ἡ ῥίζα αὐτῆς· τιθεμένη ἐν οἰκίᾳ εὐτυχίαν καὶ εὐδαιμονίαν ἐν τῷ οἴκῳ ἐκείνῳ παρέχει· καὶ μὴ θαυμάσῃς τὴν εὐτυχίαν τῆς βοτάνης, ἀλλ' εἰς τὸν θεὸν τὸν διδόντα τὰς χάριτας. [Sequuntur sex lineae vacuae.]

Τοῦ Αἰγοκέρου <τὸ> βότανόν ἐστιν τὸ λεγόμενον τράγιον· τοῦτο ἔπαρον, ὅταν τὸ ζῴδιον κυριεύει. ἐὰν γὰρ ἐκ τοῦ καρποῦ δώσῃς γυναικὶ πιεῖν, ὀλίγας ἡμέρας ζήσεται. εἰ δὲ τὰ φύλλα αὐτοῦ βαστάσεις, ἅπαντα τὰ θηρία φεύξονται ἀπὸ σοῦ· τὸ δὲ μεγαλώτερον, ἐάν τις τὴν βοτάνην βαστάζει καὶ περικυκλώσουσιν αὐτὸν θηρίων πλήθη καὶ λεόντων, ὡς θεῷ αὐτῷ προσεγγίσουσιν καὶ οὐ προσψαύσουσιν αὐτόν. ἀλλ' οὐδὲ βλάψουσιν αὐτόν, ἐὰν καὶ μὲ ταῦτα κοιμηθῇ. τὴν δὲ ῥίζαν δὸς φαγεῖν ἐπιληπτικῷ, ἐν τρισὶν ἑβδομάσι καὶ ἄκρως ἰαθήσεται καὶ ἀφορβίαν ἕξει, ἐν ᾧ τόπῳ εὑρίσκεται ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ καὶ ἐν παντὶ καιρῷ καὶ ἐν παντὶ τόπῳ. εἰ δὲ βαστάζει αὐτὸ ὡς φυλακτήριον, προφητικὴ χάρις ἐκ θεοῦ ἐπελεύσεται. [Sequuntur tres lineae vacuae.]

1 post ἰᾶται del. librar. ἡ δὲ ῥί. σύναχα cod. 4 ἤτε cod. 7 ἐλαφινῷ] λαφήνῳ cod. 8 φανὴς cod. 9 εἴπει cod. 13 ἄρκου cod. 17 Τοξότη cod. τὸ βοτάνη cod. 22 πόνων cod. 27 τό add. βοτάνη cod. 28 δώης cod. 29 γυναικός cod. ποιεῖν cod. 30 μεγαλιώτερον cod. De forma μεγαλώτερον cf. *Catal. cod. astr.* V, 3, p. 101, 31 et 107, 24. 32 θεὸν αὐτόν cod. 36-37 εἰ δὲ βαστάζει - ἐπελεύσεται omis. librarius, add. in margine.

[F. 251] Τοῦ Ὑδροχόου <τὸ> βότανόν ἐστι τὸ λεγόμενον βατράχιον· τοῦτο τρίψας τὰ φύλλα καὶ τὸν ζωμὸν φυλάξας ἐπίδος εἴ τινος χρῄζεις ἵνα ποιήσει αὐτῷ σπασμωδεῖν <καὶ> θάνατον κατεργάζεται. ἔπαρον δὲ αὐτοῦ τὴν ῥίζαν καὶ βάλλε εἰς δέρμα ἰχθύος, ὅταν ὁ Ὑδροχόος κυριεύει καὶ βάλε εἰς πλοῖον καὶ ναυαγήσει, ἐν ᾧ τόπῳ ἀπέλθῃ. τὰ δὲ ἄνθη αὐτοῦ βασταζόμενος ἰᾶται. ἔχει δὲ καὶ ἑτέρας ἐνεργείας ἡ βοτάνη αὕτη. ἐὰν τὰ φύλλα τρίψεις καὶ μετὰ ἀλεύρου ἐπισμίξεις καὶ βάλε εἰς σηπεδόνας καὶ ἥλους τραυμάτων, ἐν τρισὶν ὥραις αὐτοῦ ἀπαλλάττει. [Sequuntur sex lineae vacuae.]

Τοῦ Ἰχθύος τὸ βότανόν ἐστιν ἡ ἀριστολοχία· ὅταν γοῦν κυριεύει τὸ ζῴδιον, ἔπαρον αὐτό. ἔχει δὲ χάριτας μεγάλας· ὁ καρπὸς αὐτοῦ πιθεὶς μετὰ οἴνου καὶ μέλιτος πᾶσαν νόσον τοῦ σώματος ἀποδιώκει. ἡ δὲ ῥίζα καπνιζομένη καὶ βασταζομένη πᾶν δαιμόνιον καὶ πᾶσαν ἀχλὺν ἀπελαύνει καὶ πᾶσαν νόσον καὶ μάστιγας ἀπὸ τὸν ἐσθίοντα τὴν ῥίζαν αὐτῆς ἐκδιώκει. ἔστι δὲ καὶ αὐτῇ ἀντιφάρμακον πάντων τῶν ἰοβόλων. οἷος γὰρ ἄνθρωπος δαχθεὶς καὶ ἐκ παντὸς ὄφεως εἴτε δηλητηρίου μιανθείς, ταῦτα ποιῶν καὶ θήσας αὐτὰ ἐπάνω, παραυτίκα ἰαθήσεται [1]. [Sequuntur tres lineae vacuae.]

[F. 252] Εἰσὶ δὲ καὶ τὰ βότανα τῶν ἑπτὰ πλανήτων, ᾧ ἀκριβέστατε Ῥοβοάμ, καὶ ὅταν βούλῃ ἐμβαλεῖν αὐτά, ἐξέβαλεν αὐτὰ εἰς τὴν ὥραν, ἐν ᾗ κυριεύει ὁ καθεὶς πλανήτης εἰς τὴν ὥραν αὐτοῦ. καὶ ποίησον τὰς ὀνομασίας καὶ τὰς προσευχὰς καὶ πράξεις μετ' αὐτῶν θαυμασίως, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλεῖν γλώσσῃ.

Τὸ βότανον τοῦ Διὸς τὸ χρυσάγκαθον· τοῦτο εὔγαλε εἰς τὴν ὥραν, ἐν ᾗ κυριεύει ὁ Ζεύς, καὶ ὀνόμαζε τοὺς ἀγγέλους καὶ εἰπὲ καὶ τὰς προσευχὰς καὶ ἔχει ἰατρείας φρικτὰς καὶ φοβεράς. τὴν ῥίζαν ἐὰν δώσεις φαγεῖν πρωίας ζ', σεληνιαζομένους ἰαθήσεται. εἰ δὲ δαιμονιζομένῳ δώσεις βαστάζειν μετὰ λιβάνου τὴν ῥίζαν, φυγήσεται τὸ δαιμό-

1 τό add. βοτάνη cod. 3 αὐτῷ] αὐτό cod. σπαρμόδειν cod., σπασμωδεῖν <καὶ> Cumont. Cf. Cyranid., p. 40, 11-12 παρατήρει δὲ μὴ ἐπὶ νεύριον ἢ φλέβα ἐπιθῇς ἵνα μὴ σπασμὸν ἐργάσῃ. 8 αὐτῷ cod. 10 βοτάνην cod. Aristolochia etiam in libro Hermetico de XII plantis XII zodiis tributis Piscibus additur (cf. E Meyer, *Gesch. d. Bot.*, II, p 344; *Catal.* VII, 232, 7). 11 αὐτῷ cod. 15 ἀντιφάρμακον .. ἰοβόλων] cf. Philumenus, *de venenatis animalibus* ed. M. Wellmann (Corpus medicorum Graec. X, 1, 1) passim. 20 Ἱεροβοάμ cod. 23 ἐξόν] ἐξ ὧν cod. ἀνθρώπων ... γλώσσαις cod , corr. Cumont. 24 in margine signum Iovis εὔγαλε] v. Ducange s. v. 27-28 δαιμονιζομένου cod.

[1] Sequuntur in f. 251ᵛ duo brevissima capitula Οἱ δώδεκα μῆνες μετὰ τῶν αὐτῶν ζῳδίων (in marg. σημεῖα; inc. ♈ Κριὸς μηνὶ Μαρτίῳ κα' εἰκάδι πρώτῃ, des. ♓ Ἰχθὺς μηνὶ Φευρουαρίῳ κ' εἰκάδι) et Πῶς δεῖ παρατηρεῖν τὰς φύσεις τῶν δώδεκα ζῳδίων (enumerantur tantum septem planetarum nomina signaque astronomica), quae capitula prorsus aliena sunt a proposito totius tractatus, ut solum explendi vacui spatii causa ea addita esse veri simillimum sit.

νιον. τοὺς πίπτοντας ἐκ τοῦ πάθους καὶ ἀφρίζοντας, πότιζε τὴν ῥίζαν μετὰ λουλακίου καὶ παραυτίκα ἰαθήσεται. ἐκ δὲ τῶν φύλλων τρίψας λάβε τὸν ὀπὸν καὶ ἄλειψον τομὰς καὶ κρούσματα ξίφων καὶ πληγάς. καὶ διὰ ιη' ὡρῶν θεραπεύσεις. τὴν δὲ κεφαλὴν τοῦ βοτάνου ἐὰν δώσῃς βαστάσαι, ἀνὴρ οὐ φοβηθήσεται πειραθῆναι ὑπὸ μαγίων. εἰ δέ ἐστιν ἄνθρωπος καὶ πάσχει ἐκ φαρμακοποσίων, ἐπίδος ἐπὶ τὴν κεφαλὴν τῆς βοτάνης πίνειν μετὰ ὕδατος καὶ μέλιτος καὶ ἰαθήσεται.

Τὸ βότανον τοῦ Ἄρεως ἐστὶν ὁ πεντασίτης· τοῦτο εὔγαλον εἰς τὴν ὥραν τοῦ Ἄρεως καὶ βάσταζε ἐκ τὰ ξίφη αὐτοῦ, ἐντετυλιγμένα εἰς δέρμα λύκου καὶ ἐὰν περικυκλώσουσί σε μύριοι ἐχθροί, οὐ δυνήσονταί σε βλάψαι, ἀλλὰ διασωθήσῃ ἀβλαβὴς ὑπ' αὐτῶν. τὰ δὲ φύλλα τρίψας καὶ ξηράνας δὸς πιεῖν μετὰ οἴνου, ἢ ἀνδρὸς ἢ γυναικὸς ἔχοντος αἵματος ῥεύσεις ἐκ τοῦ σώματος, καὶ ἰαθήσεται θαυμασίως, ὥστε θαυμάζειν πάντας τὴν τοῦ βοτάνου δύναμιν. τὴν δὲ ῥίζαν βάσταζε πρὸς πάντα πόλεμον καὶ πρὸς πᾶσαν παράταξιν καὶ ἐπινικήσεις καὶ ἀβλαβὴς διασωθήσῃ, ὥστε θαυμάζειν τὴν θείαν ἐνέργειαν. ὁ δὲ βαστάζων τὸ ἄνθος τῆς βοτάνης ζηλωθήσεται ὑπὸ πάντων [f. 252ᵛ] τῶν ἀνθρώπων καὶ περίβλεπτος ἔσται καὶ δυνατὸς ἐν δυνάμει.

Τὸ βότανον τοῦ Κρόνου ἐστὶν τὸ ἡλιοτρόπιον· τοῦτο ἔπαρον εἰς τὴν ὥραν ἥνπερ κυριεύει ὁ Κρόνος. εὔγαλε καὶ λέγε τὴν προσευχὴν καὶ ἐπικαλοῦ τοὺς ἀγγέλους τοὺς κυριεύοντας. καὶ ἔχει τὸ βότανον τὴν ἐνέργειαν ταύτην. ἐὰν ἀπὸ τοῦ ἄνθεος δώσεις φαγεῖν κρυφίως, ἐλεύσεται ἐν αὐτῷ θερμασία καὶ ῥῖγος. ἐὰν τοῦ δώσεις δύο ἄνθη, ἥξει αὐτοῦ δι τταῖος, εἰ δὲ τρία τριτταῖος, εἰ δὲ τέσσαρα τεταρταῖος καὶ τὰ ἑξῆς· ἐὰν δὲ αὐτῶν τὰ φύλλα βάλλεις τινὸς εἰς προσκέφαλον αὐτοῦ κρυφίως, οὐκ ἐγερθήσεται, ἕξω ἂν λάβοις ἀπὸ τὰ προσκέφαλα αὐτοῦ. εἰ δὲ δώσεις αὐτῷ φαγεῖν, ἐλεύσεται εἰς ἀρρωστίαν ἕως θανάτου μέχρι πάντων τῶν χρόνων τῆς ζωῆς αὐτοῦ καὶ οὐκ ἐγερθήσεται μέχρι δώσῃς φαγεῖν ἐκ τῆς βοτάνης τοῦ Διός. τὴν δὲ ῥίζαν ἐπάνω σου βάσταζε ὡς φυλακτήριον τῶν γυλούδων.

Τὸ βότανον τοῦ Ἡλίου καλεῖται ἡλιοσκόπος, παρὰ δὲ Ἰταλοῖς τζιρασόλεμ· ἐπειδὴ ἔνθα ἐστὶν ὁ Ἥλιος, κλίνει τὰς κορυφὰς αὐτοῦ, δι' οὗ ἡλιοσκόπος καλεῖται. ταύτην τὴν βοτάνην εὔγαλον εἰς τὴν ὥραν, ἐν ᾗ ὁ Ἥλιος κυριεύει, μετὰ τὰς προσευχὰς καὶ τὰ ἄνθη καὶ τὸν καρπὸν αὐτοῦ βάλε εἰς δέρμα ἀετοῦ καὶ βάσταζε μετὰ σοῦ. καὶ ἔνθα ἔνι θησαυρός, παραυτίκα ἀνεωχθήσεται, ὡς ἐν ῥιπῇ ὀφθαλμοῦ. καὶ εἴδεις τὸ χρυσίον ἢ τὸ ἀργύριον ἐκεῖνο καὶ εὐθὺς πάλιν ἡ γῆ κλείσει. σὺ δὲ

2 λουλάκι = indigo (Vlachos). 8 in margine signum Martis. βοτάνην cod. 9 ἐντετηλυμένα cod. 11 διασωθῆς cod. 12 ποεῖν cod. 15 πᾶσαν πόλεμον cod. 16 διασωθεὶς cod. 17 ζηλευθήσεται cod., fortasse non corrigendum est. 19 in margine αᵒᵛ. 20 in margine ὄπισθεν ζήτει τὸ β' καὶ γ'. 22 in margine signum Saturni. ἄνθεος] ἄθεως cod. 23 θερμασίαν cod. 25 βάλεις cod. 26 ἕξω ἄν = πλὴν ἄν. 28 δώῃς cod. 30 γυλούδων] cf. supra, p. 160. 36 εἴδεις corrigere nolui. 37 ἐκείνῳ cod.

σημειωσάμενος τὸν τόπον ἀνώρυξον καὶ εὕρεις, ὅπερ εἶδας· τὰ δὲ φύλλα τρίψας καὶ σμίξας ῥοδόσταγμα, καὶ ἄλειψόν σου τὸ πρόσωπον καὶ πορεύου. καὶ πᾶς ἄνθρωπος ἄγριος ἢ λῃσταὶ ὡς θεόν σε προσκυνήσουν καὶ τιμήσουσι. τὴν δὲ ῥίζαν βάσταζε ἐνδεδεμένην μετὰ δέρματος ὄνου. θυμωμένους αὐθέντας ἢ βασιλεῖς ἡμερώσεις. εἰ δὲ μετὰ δέρματος φώκης ἐνδύσῃς καὶ βαστάσῃς, ὑπὸ βασιλέων καὶ ἀρχόντων καὶ μεγιστάνων θαυμάσει τε καὶ τιμηθήσει. ἔχει δὲ ἡ βοτάνη τὰς ἐνεργείας ταύτας ἀκωλύτως.

[F. 253] Τὸ τῆς Ἀφροδίτης βότανον λέγεται σατύριον· ταύτην εὔγαλον εἰς τὴν ὥραν, ὅταν κυριεύει ἡ Ἀφροδίτη, μετὰ τῆς προσευχῆς καὶ τῶν ἀγγέλων. καὶ ἔπαρε τὰ ἄνθη καὶ τὸν καρπὸν αὐτῆς καὶ ἐντυλίξας εἰς δέρμα ζορκαδίου [καὶ] βάσταζε εἰς τὸν δεξιόν σου ἀγκῶνα καὶ ἔσῃ φιλτὸς ὑπὸ πασῶν τῶν γυναικῶν. τὰ δὲ φύλλα αὐτῆς τρίψας [καὶ] βάλε ῥοδόσταγμα καὶ ἀλείφου τὰς ὄψεις καὶ πορεύου. καὶ οἵας ὁμιλίας καὶ ὑπανδρίας ἄρξασθαι κατευοδωθεῖ. καὶ εἴ τι εἴπῃς, πιστευθήσεται, τῆς δὲ ῥίζας τὸ δροσότερον μῆλον ἐὰν ὀνοματίσῃς καὶ δώσῃς οἵας γυναικὸς θέλεις, ἀγαπηθήσεται καὶ ἔλθωσι πρὸς συμφωνίας ὁμοίως καὶ ἀνδρὸς διὰ γυναικός. τὴν δὲ ῥίζαν ψημένην εἰ δώσῃς ἐπὶ ἀγαπημένους μετὰ ὀνομασίας καὶ Κρονικῆς ὥρας, παραυτίκα μισηθήσονται καὶ ἔσονται εἰς μάχην.

Τοῦ Ἑρμοῦ τὸ βότανόν ἐστι τὸ πενταδάκτυλον· καὶ εὔγαλε εἰς τὴν ὥραν, ὅταν κυριεύει ὁ Ἑρμῆς, μετὰ τὴν προσευχὴν καὶ τὰς ὀνομοσίας. καὶ ἔπαρον τὰ ἄνθη καὶ τὸν καρπὸν καὶ ἐντυλίξας εἰς καρδίαν κάτου ἢ κάτης μαύρας καὶ βάσταζε ἐπάνω σου καὶ ἔσῃ ἀφανής. καὶ εἰ ἂν ποιήσεις, οὐ καταγνωσθήσεται. τὰ δὲ φύλλα αὐτοῦ ξηράνας καὶ ποιήσας ὡς κόνιν καὶ μίξας μετὰ ἐλαίου ἄλειψον, παντοίαν πληγὴν ὀφθαλμοῦ, σκότησιν, ἀχλὺν γιαλοῦπι, νεφέλιον πονημάτων, ὀρνιθοτυφλίαν καὶ εὐθὺς θεραπεύσεις. ἐκ δὲ τῶν δακτύλων τῆς ῥίζης ἐὰν βαστάσῃς, πάντα πόνον χερίων καὶ δακτύλων ἰάσεις. εἰ δὲ φάγῃς ἐκ τῶν δακτύλων τῆς ῥίζης, ἔσῃ μνημονευτικὸς καὶ ῥητορικὸς ἐν λόγοις. καὶ εἴ τι ἄρα ἀκούσεις, λάθησις οὐ γενήσεται. καὶ πάλιν τὴν ῥίζαν ἐντυλίξας μετὰ δέρματος κυνὸς [καὶ] βάσταζε καὶ οὐ λακτίσουσί σε κύνες. καὶ πάλιν τὴν ῥίζαν ἐντυλίξας μετὰ δέρματος ἰχθύος, βάσταζε καὶ ἄγραν ἰχθύων πιάσεις, ὅσους ἂν βούλῃ. καὶ πάλιν τὴν ῥίζαν ἐντυλίξας μετὰ βλαντίου καὶ ἀκράτου μόσχου πορεύου καὶ κυνηγήσεις ζῷα

1 εὕρεις et εἶδας corrigere nolui. 2 ῥοδόσταμα cod. 7 θαυμάσεις ... τιμηθεῖς cod. 11-12 ἐντετυλίξας cod. 12 Ζορκάδιον = δορκάδιον (dimin. a δορκάς). καὶ inclusi. ἀγγόνα cod. 13 πασῶν] πάντων cod. καὶ inclusi. 14 ῥοδόσταμα cod. 15 κατευοδοθεῖς cod. 18 ψημένην = ἑψημένην. 21 πενταδάκτυλον] Cf. *Catal.* VI, p. 83, 30 s. et VII, p. 234, 3-19. 23 ἐντετυλίξας cod. 24 κάτας μαύρης cod. 27 γιαλούπην] videtur derivandum esse ab ὑαλῶπις (Heisenberg. Cf. Orph., *Lith.*, vers. 607), non ab αἰγίλωψ. νεφέλιος cod. πονεμάτων cod. 31 εἴ τι] ἤτοι cod. λάθησις] λάθος ἔσις cod. 32 καί inclusi. 35 βλαντίου. Cf. Ducange, s. v. βλάτιον.

καὶ κτήνη ἄγρια. [f. 253v] ταύτας γὰρ τὰς ἐνεργείας καὶ πλείονας ἔχει ἡ βοτάνη αὕτη ἀκωλύτως. ἀλλὰ καὶ ἡ ῥίζα καθεκάστην ἐσθιομένη παντοίαν νόσον τοῦ σώματος ἀποδιώκει καὶ εἰς προκοπὴν βίου ἄγει. βάσταζε δὲ τὴν ῥίζαν μετὰ παιωνίας λιβάνου. καὶ ἔσῃ φυλασσόμενος ἐκ πάσης μαγείας καὶ περιεργείας πονηρῶν ἀνθρώπων.

Τῆς Σελήνης ἡ βοτάνη ἐστὶ ἡ γλαοφώτη· παρὰ δὲ Ἰταλοῖς λέγεται λουναρία. ταύτην εὔγαλον εἰς τὴν ὥραν αὐτῆς μετὰ τῆς εὐχῆς καὶ τῶν ὀνομάτων ἀγγέλων, ὡρῶν, μηνός, ἀνέμου καὶ ζῳδίου ἰδίου οἴκου αὐτῆς, ὅ ἐστιν Καρκίνος. ἔχει δὲ ταύτας τὰς χάριτας ὅτι ἐὰν τὴν κορυφὴν αὐτοῦ βάλλεις μετὰ περικεφαλαίας ἀλεκτώρου, οἵας πραγματείας ἐγγίσεις, εὐθὺς πεπραχθήσεται καὶ οἵας δουλείας ἄψει, εὐωδοθήσει. καὶ εἰς πᾶσαν πραγματείαν κερδέμπορος. τῶν δὲ δροσερῶν αὐτῆς φύλλων ἐὰν αὐξούσης Σελήνης συμμίξεις μετὰ χρημάτων ἢ χρυσίου ἢ ἀργυρίου καὶ ἑτέρου χαραγίου καὶ μετὰ τῶν χρημάτων ἐκείνων, οἵας πραγματείας ἀγοράσεις, μετ' ὀλίγον αὐξηθήσεται ὁ θησαυρός σου καὶ γένεις κύριος πολλῶν χρημάτων. πάλιν τὰ ἐψημένα αὐτῆς φύλλα εἰ μίξεις εἰς χρήματα ἐχθροῦ σου, ἀφανισθήσονται. ὁμοίως καὶ ἐὰν ἀνθρώπῳ δώσῃς ἐκ τῶν αὐτῶν φύλλων, εὐτυχήσει. ἐὰν αὐτὰ φάγει καὶ τὸ ἀνάπαλιν τὰ δροσερὰ εἰς προκοπὴν ἔλθῃ· τὴν δὲ ῥάβδον τῆς βοτάνης καὶ τὴν ῥίζαν εἰς οἷον μέταλλον ἐν χωνευτηρίῳ περικεκαλυμμένον καὶ χωνεύσεις, εὑρήσεις αὐτὸ καθαρὸν καὶ ἔκλαμπρον καὶ δόκιμον χρυσίον. ἔχει δὲ ἡ βοτάνη καὶ ἑτέρας ἐνεργείας πολλὰς καὶ χάριτας.

Τέλος. Ἀμήν.

6 in margine signum Lunae, sub eo ζ'. γλαοφώτη vel ἀγλαοφῶτις, quae etiam παιωνία dicitur. Cf. Herm. Trism., *de septem plantis VII planetis tributis* . . . . . (E. Meyer, *Gesch. der Botan.*, II, p. 344); *Carm. de viribus herbar.* v. 154 (M. Haupt, *Opuscula*, II, p. 484). 7 δελουναρία cod., est lunaria. 10 βάλεις cod. 11 πιπραχθήσεται cod. ἄψεις cod. εὐοδοθήει cod. 13 συμμίξας cod. 14 χαράγιον (« monnaie frappée » Cumont) in lexicis non invenitur. 16 γένεις corrigere nolui. 18 ἀνθρώπου cod. 20-21 περικεκαλυμένον cod. 21 αὐτῷ cod.

EXCERPTUM EX CODICE VATICANO GRAECO 952

De paeonia.

Abhinc triennium Fridericus Pradel in libro, cui inscribitur : *Griechische und Süditalienische Gebete, Beschwörungen und Rezepte des Mittelalters*, Giessen, 1907 (Religionsgeschichtliche Versuche und Vorarbeiten, III, 3), p. 28-31, edidit brevem tractatum ἑρμηνεία τῆς πιονίας ornavitque (p. 112-116) commentario docto illo quidem et magno, sed ad perspiciendam veram illius libri indolem, ex quo id capitulum ab homine quodam Byzantino excerptum est, parum fructuoso. Atque in eo mihi maxime errare videtur, quod prorsus neglectis cum iis, quae A. Thumb de aetate imprecationis paeoniae (p. 141 « in dem recht stark archaisierenden Gebet ») egregie coniecit, tum parum indiciorum illorum atque vestigiorum ratione habita quae longe altiorem aetatem redolere neminem fugere potest, atque omnino ignorato arto illo vinculo, quo Anonymus iste cum capitulo quodam Cyranidum Hermeticarum (p. 13 s. ed. Mély) cohaeret, capitulum illud decimo sexto p. Chr. n. saeculo atque in Creta seu Sicilia insula scriptum esse p. 136 s. (cf. etiam p. 144) opinatur. Neque enim solum epitheton τρισμέγιστος proprium fere solius Hermetis hic paeoniae, quippe quae ab ipso hominibus donata (cf. infra, p. 169, 15) sit, inditum est (l. c., p. 29, 26), invocatur paeonia ibid. μῆτηρ τῶν βοτανίων ut in Cyranid. ed. Mély p. 10, 19 vitis appellatur μάκαιρα ἐκ θεοῦ ἄνασσα, ἐκ θεοῦ βοτρυοφόρε μῆτερ ἁπάσης θείας φύσιος εὐαγοῦς ἐν φυτοῖς, sed etiam nonnumquam verbotenus ἑρμηνεία τῆς πιονίας cum Cyranidibus p. 13 s. consentit. Denique totus ordo atque indoles permultorum capitulorum primi libri Cyranidum idem est atque ἑρμηνείας τῆς πιονίας, ut non possis non concedere excerptum illud a Friderico Pradel editum quaqua via fluxisse e Cyranidibus.

Haec vero ita se habere manifesto apparet ex capitulo quodam inedito ex codice Vaticano graeco 952 s. XIV excerpto, cui artissimam cum Cyranidibus necessitudinem intercedere in apparatu critico adnotavi. Abstersis omnibus rebus christianis, quibus inprimis tractatus Pradeliani pristina natura perturbata et quasi oblita est, haud difficile est cognoscere utrumque capitulum anonymum excerptum esse ex magico quodam libro Hermetico de plantis, qui sine ulla dubitatione vetustior est quam Cyranides quales quidem nunc in manibus tenemus et quo ignotus Cyranidum compilator Byzantinus primo loco usus est. Pluribus de Cyranidum Hermeticarum origine atque indole disseram propediem in Philologo. Interea videas E. Meyer, *Gesch. der Botanik*, II, p. 340 seqq. ; F. de Mély, *Revue de philol.*, 1900 p. 118-131 ; F. Boll in *Catalogo cod. astr.*, VII, p. 231 s.; I. Heeg, *Byz. Zeitschr.*,

XIX, 1910, p. 179. Conf. etiam P. Tannery, *Revue des étud. gr.*, XVII, 1904, p. 335-349; Th. Zielinski, *Archiv f. Religionswiss.*, IX, 1906, p. 51 seq.; Serruys, *Revue de philol.*, 1908, p. 158.

[F. 162.] Περὶ τῆς βοτάνης τῆς καλουμένης παιωνίας.

Παιωνία δὲ εἴρηται διὰ τὸ τὸν Παίωνα αὐτὴν εὑρηκέναι, ἥ τις τετελεσμένη λέγεται ἐν τῇ πρὸ ταύτης βίβλῳ ἀρχαϊκῇ καλουμένῃ, ἔχει δὲ οὕτως· ἐν μειώσει Σελήνης ποίησον εὑρεῖν παιωνίαν. ἱστάσθω δὲ ἐν τόπῳ περιφανεῖ καὶ περιβλέπτῳ· καὶ τοῦτο δυνήσει ποιῆσαι, ὅταν εἰσέλθῃ ὁ Ἥλιος Παρθένῳ ζῳδίῳ· πλεῖσται δὲ φύονται περὶ τὸν Ἑρμῶνα ὄρος καὶ περὶ τὰ Ταυρομένια καὶ εἰς Βαβυλῶνα τὴν μεγάλην καὶ περὶ τὴν Θρᾴκην <καὶ> πέρα Γαδείρων <καὶ> ἐν τῷ Αἰγαίῳ κόλπῳ. φύονται δὲ καὶ ἐν ἄλλοις τόποις, ἀλλ' οὐ τοσαύτην ὡς ἐκεῖναι τὴν δύναμιν ἔχουσιν ἐκ τῆς θέσεως τοῦ τόπου καὶ τῶν ζῳδίων κλήρου <καὶ> τῆς φυσικῆς ἀπορροίας. ἃ καὶ αὐτὸς δυνήσει ποιῆσαι οὕτως.

Ἐπειδήπερ ἀναγκαῖον, ὡς εἴρηται, ἐν διαφανεῖ τόπῳ ἑστάναι τὴν ἱερὰν ταύτην βοτάνην, λαβὼν κόκκον παιωνίας μεμυκότα καὶ ἕτερον ἐκ τοῦ κεχηνότος στύρακος καὶ περιειλήσας φύλλοις ἑπτὰ τῆς αὐτῆς βοτάνης ἁγνὸς χῶσον ἐν ὑψηλῷ τόπῳ, ἔνθα βούλει. καὶ ὅταν ἀναφύῃ καὶ δείλη γένηται, εὑρήσεται· φυλάττου δὲ αὐτὴν ἀπὸ ὑετῶν καὶ ἀνέμων καὶ ταραχῆς ἀερινῆς. ἐν ἡμέρᾳ γοῦν Σελήνης ὥρας α' ἀρχομένης ἤγουν ἐν τῇ ὥρᾳ αὐτῆς οὔσης ἐν ἀποκρούσει, Ἡλίου ὄντος ἐν Παρθένῳ πρὸ τοῦ ἀνατεῖλαι τὸν Ἥλιον ἄπελθε ἁγνὸς καὶ [f. 162v] ἔχων ἐξ ἑτοίμου δέρμα φώκης τετελεσμένης καὶ αὐτῆς ἐν τῇ ἀνατομῇ αὐτῆς, καθώς σοι εἴρηται ἐν ταύτῃ τῇ ἱερᾷ βίβλῳ περὶ ἀνατομῶν· γράψον ἐπάνω τοῦ δέρματος ταῦτα καὶ κρέμασον μετὰ μετάξης ἀληθι-

In margine infer. κεφάλαιον α'. 1 πε ante βοτάνης del. libr. 2 ante παιωνία add. cod. : περὶ παιωνίας τῆς γλυκυσίδος (cf. *Carm. de vir. herbar.* v. 151 ed. M. Haupt, *Opuscula*, II, p. 483, et Cyran. p. 13, 1) τῆς ἀλφκωνίας (cf. Cyran. p. 40, 27) καλουμένης, delevi. Παιωνία - εὑρηκέναι] cf. Cyran. p. 13, 6-7 : ἐκλήθη δὲ παιωνία διὰ τὸ τὸν Παίωνα αὐτὴν εὑρηκέναι. 2-3 τετελεσμένη] cf. Cyran. p. 21,27 et app. 3 πρὸ ταύτη cod.; de libro archaico conf. Cyran. p. 3,12; 6, 1 (et saepius) ἐν τῇ πρὸ ταύτης βίβλῳ καλουμένῃ ἀρχαϊκῇ. Conf. Fabricius, *Bibl. Gr.*, I, p. 67; E. Meyer, *Gesch. der Botanik*, II, p. 348-361; V. Mély, *Les Lapid. Gr.*, Introd., p. IX. 5 τούτω δυνήσαι cod. 7 τὸν Ἑρμῶνα ὄρος] τὸ νέμωνα ὄρος cod., corr. Cumont, fortasse τὸν Αἷμον ὄρος. Ταυρομένια] an Tauris montis nomen latet? Cumont. 8 καί (bis) om. librar. 10 καί add. 11 ἀπορίας cod., correxi. ἃς cod. δυνῆσαι cod. 13 μεμυκότα - κεχηνότος] cf. Cyran. p. 13, 7 s. : τὰ μὲν οὖν ἀποστήματα αὐτῆς ἐστιν μεμυκότα, ἃ δὲ κεχηνότα. 15 ἀναφυῇ cod. 16 φυλάττου κ. τ. λ.] cf. Pradel, p. 30, 6 : φυλάσσῃς αὐτὴν ὡς κόρην ὀφθαλμοῦ. 20 δέρμα φώκης] cf. Cyran. p. 21, 25 : Λαβὼν οὖν φώκης θαλασσίας τρίχας ... καὶ ῥιζίον παιωνίας τῆς γλυκυσίδος κ. τ. λ. 21 Haec Hermetica ἱερὰ βίβλος περὶ ἀνατομῶν nusquam citari videtur. Clem. Alex., *Strom.*, VI, 35 t. II, p. 449, 5 Stähl.. commemorat librum quendam Hermeticum περὶ ἀνατολῶν; sed huius argumentum astronomicum fuisse videtur.

νῆς περὶ τὴν ῥίζαν αὐτῆς· ἃ δὲ μέλλεις γράφαι, εἰσὶ ταῦτα· [Sequuntur signa magica, cf. tab. II, 1] κρεμῶν δὲ αὐτὰ λέγε καὶ ταῦτα.

Εὐλογητὸς ὁ θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ εὐλογημένον καὶ δεδοξασμένον τὸ ὄνομά σου τὸ ἀρχέγονον. σὲ αἰνεῖ πᾶσα φύσις καὶ σὲ δοξάζει ἡ τῶν ἁπάντων παρὰ σοῦ ἰσχύς· σὺ γὰρ εἶ μόνος τέλειος, ἄναρχος, ἀόρατος, ἀπρόσιτος, ἀναλλοίωτος, ἀπερίγραπτος, ἀψηλάφητος, ἀΐδιος, ἀνεξιχνίαστος, ἀνεξερεύνητος, ἀκατάληπτος, ἀρχὴ καὶ τέλος, Ἄλφα, Ἀδωναί, Σαβαώθ, Σεμιμεφοράζ, Γεσεραγέ, Ἀμνοιά, Ἰανά, Σαδαέ. σὺ εἶ ὁ πτωχίζων καὶ πλουτίζων, ταπεινῶν ὑψῶν, παιδεύων καὶ ἰώμενος, θανατῶν καὶ ζωογονῶν. σὺ οὖν, κύριε, τῶν δυνάμεων, ἐπίβλεψον ἐξ ἁγίου κατοικητηρίου καὶ ἀπὸ θρόνου δόξης σου καὶ δός μοι τῷ δούλῳ σου τὴν χάριν ταύτην, ἵνα γένηται ἡ βοτάνη αὕτη ἐν αἷς ἂν χρήσωμαι θεραπείαις καὶ πράξεσιν ὠφέλιμος, ὅτι εὐλογημένον καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας ἀμήν.

Εἶτα καὶ τῇ Χαλδαϊκῇ καὶ Συρικῇ καὶ Περσικῇ διαλέκτῳ ταῦτα. Χαίγ, Χάφ, Γιάπ, Λιάφ, Μπλάχ, Φάλ, [f. 163] Φάνγ, Μρέλ, Σουλφάμ, Μπερχάμ, Τίμ, Λιάς, Ἀχρουάς, Μουζουπάτ, Λιρχάμ, Ζαλφά, Νῶ, Πόθ, Σέρφου, Σίλφον, Νάμχ, Ταχά, Σιλχά, Μπεμελόν. Ἀμήν, ἀμήν, ἀμὴν πάντοτε.

3-4 εὐλογημένον καὶ δεδοξασμένον τὸ ὄνομά σου] cf. Da. 3 (26); Tob. 3, 11. 6-7 ἄναρχος - ἀκατάληπτος] cf. Gregorius Thaumaturg. apud Schermann, *Griech. Zauberpap.*, p. 18 : ὁ θεὸς αἰώνιος, ... ὁ ἀκατάληπτος, ... ὁ ἀπερίγραπτος, ὁ ἀνεκδιήγητος, ὁ ἄναρχος, ὁ ἀΐδιος, ὁ ἀγέννητος, ὁ ἀναλλοίωτος ... φῶς οἰκῶν ἀπρόσιτον ... 7 ἀνεξιχνίαστος, ἀνεξερεύνητος] cf. Ro. 11, 33. 7-8 ἀρχὴ καὶ τέλος] cf. Apoc. 21, 6; 22, 13 : ἡ ἀρχὴ καὶ τὸ τέλος. 8 ἀδωναί, Σαβαώθ] cf. 1 Reg. 1, 11 et quae Pradel, l. c., p. 46 seq. contulit. 9 ὁ πτωχίζων καὶ πλουτίζων] cf. 1 Reg. 2, 7. 9-10 παιδεύων καὶ ἰώμενος] cf. Gregor. Thaumaturg., l. c., p. 19.1 : ὁ παιδεύων καὶ πάλιν ἰώμενος. 10 θανατῶν καὶ ζωογονῶν] cf. 1 Reg. 2, 6. 11 ἐπίβλεψον ἐξ ἁγίου κατοικητηρίου] cf. Ps. XXXII (XXXIII), 14. ἀπὸ θρόνου δόξης σου] cf. Mat. 19, 28; 25, 31. 11-12 δός μοι - ἡ βοτάνη αὕτη] cf. Pradel, *Griech. Gebete*, p. 29, 8-9 : ἀπόστειλον τὴν εὐλογίαν τοῦ ἁγίου σου πνεύματος ἐπὶ τὴν βοτάνην ταύτην ; 13-14 : εὐλόγησον τὴν βοτάνην ταύτην καὶ ἔσται εἰς ὑγείαν ψυχῶν καὶ σωμάτων ἀνδρῶν.... Cf. simillimas preces apud Ad. Franz, *Die Kirchlichen Benediktionen im Mittelalter*, I, Friburgi Brisgav. 1909, p. 415 : « Omnipotens deus, totius humane salutis auctor, animarum et corporum medicus, qui copiam herbarum ad usus languentium salubri medicina per ineffabilem sapientiam condidisti : presta, quesumus, ut salutari tua benedictione hanc holerum creaturam repleas, ut quicunque infirmus eis usus fuerit, sit eis corporis medela et animi fortitudo, ut tibi gratias sit referens et laudet omnis spiritus dominum nostrum Iesum Christum ». Huic imprecationi cum Anonymo Pradeliano magnam similitudinem intercedere nemo est quem fugiat. 13-14 εὐλογημένον καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας ἀμήν] cf. Da. 3 (26) et Rom. 1, 25; 9, 5; 11, 36. 15 Χαλδαϊκῇ] cf. Pradel, p. 29, 5 εἶτα τὴν εὐχὴν [ἡ] χαλδαϊκῶς οὕτως. Συρικῇ καὶ Περσικῇ δ.] cf. Cyran. p. 4, 18 et 22 et 24 et saepius. 16-18 cf. Pradel, p. 29, 6-7 χάφ ϊάπ ϊάφ μπεούχ φαὴ μοὺχ τιμε λιὰρ ἀχοὺρ ἀφὰπ λυρχὰμ σηρφουταλχὰμ ἀμὴν ἀμήν.

Καὶ πάλιν τὴν εὐχὴν ταύτην· ὁ θεὸς ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, ἐξέγειρον τὴν δυναστείαν σου καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. καὶ τὴν μὲν προτέραν εὐχὴν λέξον ἑπτάκις.

Ταύτην δὲ τὴν Χαλδαϊκὴν καὶ Συρικὴν μίαν. καὶ ποιήσας οὕτως ἔτασον ἐκεῖσε ἄχρι ἡμερῶν ἑπτά. ἀπερχόμενος καθεκάστην ἐπίλεγε τὰς εὐχὰς πρὸ τοῦ ἀνατεῖλαι τὸν Ἥλιον. τῇ γοῦν ἐλευσομένῃ δευτέρᾳ ἀπελθὼν ὥρᾳ πρώτῃ ἔχων μετὰ σοῦ καὶ κεραμίτην λίθον ἀπάτητον καὶ δεδοκιμασμένον καὶ τετριμμένον καὶ σιδηρίτην καὶ βηρυλλίτην ὡσαύτως. καὶ ὑποθυμίασον γυρόθεν τὴν βοτάνην ἐπιλέγων τὴν εὐχὴν ἀμφοτέραν. εἶτα γυρόθεν ἀνορύξας ἀνάσπασον μετὰ προσοχῆς αὐτὴν καὶ χρῶ σοφῶς ὥς σοι εἰρήσεται καὶ ἔσῃ ταύτην ἔχων τετελεσμένην. διαιρήσας γὰρ ἅπαντα κατὰ μέρος, οἷον τὴν ῥίζαν, τοὺς πτόρθους, τὰ φύλλα καὶ τὸν καρπόν, τοὺς μεμυκότας καὶ κεχηνότας, ἕξεις αὐτὰ κρείττονα τῶν προειρημένων ἁπάντων εἰδῶν. ταύτην τὴν ἱεράν, φησί, βοτάνην θεὸς Ἑρμῇ τῷ Τρισμεγίστῳ παρέδωκε βροτοῖς φάρμακον ἀκεσόδυνον καὶ βιωφελές, ὥσπερ ἐν τοῖς ἱεροῖς τῶν Αἰγυπτίων ἐντετύπωται βίβλοις.

Καὶ τῆς μὲν ῥίζης ὁ κρατῶν τι μέρος ἐπιγράφων ἐν ταύτῃ τὰ ἄρρητα ὀνόματα τοῦ θεοῦ τοῦ ὑψίστου [f. 163v. Signa magica, cf. tab. II, 2] οὐ φοβηθήσεται δαίμονας· οὔτε μὴν κακαὶ ἐπιπομπαὶ τοῖς ἀνθρώποις ἐγγίνονται. εἰ δὲ ἐπιγράψει ἐν ταύτῃ καὶ ταῦτα καὶ κρατεῖ [signa magica, cf. ibid.], οὐ φοβηθήσεται φάρμακον οὔτε ἄλλο τι κακόν. ἀποδιώξει γὰρ ἐξ ἑαυτοῦ τριταῖον, τεταρταῖον καὶ ἐφημερινὸν καὶ πᾶν εἶδος πυρετοῦ. ἀποδιώξει δὲ φθόνον, βασκανίαν καὶ ἐπιβουλήν, ἐπιχαρῆ δὲ τὸν φοροῦντα ποιήσει παρὰ πάντων ἀνθρώπων καὶ ἡδέως ἀκουσμένον. εἰ δέ τις ἐπιληψίᾳ πάσχει καὶ περιάψει ταύτην τὴν ῥίζαν, ἰάσεις

1 ὁ θεὸς ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ] cf. Kenyon, *Greek Pap, in the Brit. Mus.*, I, p. 93, vers. 264 : καὶ ἐπὶ χερουβὶν καθήμενον et p. 104, vers. 634 : ὁ ἐπεὶ τὰ χερο[υ]βὶν καθήμενος. 2 ἐξέγειρον τὴν δυναστείαν σου] cf. Ps. LXXIX (LXXX) 2. ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς] cf. ibid. 6 ἐλευσσομένῃ cod. 7 ὥραν πρώτην cod. κεραμίτην] cf. Meliteniotes v. 1161 (Mély, *Lapid. gr.*, II, 1, p. 207). 8 σιδηρίτης] cf. Orph., *Lith.*, v. 361 et Mély, *Lapid. gr.*, passim. 10 ἀμφοτέρας cod. 13 μεμυνότας cod. γάρ post ἕξεις delevi. 14 κρεῖττον cod. φησί = φασί. 15 Ἑρμῇ τ. Τρ.] cf. Cyran., p. 3, 6 : θεοῦ δῶρον μέγιστον ἀγγέλων λαβὼν Ἑρμῆς ὁ Τρισμέγιστος, θεὸς ὃ ἀνθρώποις πᾶσιν μετέδωκεν νοητικοῖς. 17 ἐντετύπωτο cod. 18 ἄρητα cod. 20-21 οὐ - πυρετοῦ] cf. Carmen d. viribus herb. v. 164-167 : κρημναμένη δύναται γὰρ ἀποτρέψαι κακότητας. πρός τε φόβους (cf. Dieterich, *Abraxas*, p. 89 seqq.) δυνατὴ καὶ δαίμονας ἠδ' ἐπιπομπάς | καὶ πυρετὸν φρίκεσσι καταρχόμενον στυγέοντι | νυκτερινόν τε καὶ ἡμερινόν, χαλεπόν τε τέταρτον. 20 κακὰς ἐπιπομπάς cod. 23 s. ἀποδιώξει γάρ - πυρετοῦ] cf. Pradel, p. 30, 8-11 : εἰ δέ τις ἔχει πύρεξιν ... ἰᾶται. 24 βασκανίαν] cf. paraphrasim prosaicam Carminis de virib. herb. ap. Haupt, *Opuscula*, II, p. 488, 16 : καὶ ὠφελεῖ πρὸς ... βασκοσύνας et Pradel, p. 75. 25 ἀκουσμένον] ἀκονόμενον cod., corr. Cumont. 26 ἐπιληψίαν cod.

παραδόξως· εἰ δέ τις δαιμονιζόμενος, θυμίασον ἐκ τῆς ῥίζης ταύτης μικρόν τι ἢ ὀλίγον καὶ διώξεις τὸν δαίμονα· τοῦτο θεῖον ἔργον. ῥιζήδιον δὲ τῆς βοτάνης βραχὺ λαβὼν τρίψας ἐν ἡμέρᾳ καὶ ὥρᾳ Ἀφροδίτης καὶ σείσας καὶ ποτίσας ἀνδρογύνῳ ἐν ἀλλήλοις μισουμένῳ παραυτίκα ἀγαπηθήσονται. ὁ τιθεὶς τὴν ῥίζαν αὐτῆς ἐπὶ τοῦ προσκεφάλου αὐτοῦ κακὸν ὄνειρον οὐ μὴ θεάσηται. ὁ κρατῶν αὐτὴν ὠφελεῖ εἰς τὴν σπλῆνα. ἐν τῷ οἴκῳ, ἔνθα εἰσίν, οὐκ εἰσέρχεται δαιμόνιον οὐδὲ μαγεία· ὁ φαρμακωθεὶς καὶ πιὼν αὐτὴν οὐ βλαβήσεται. ὁ σπόρος μετὰ μέλιτος καλοῦ πινόμενος ὠφελεῖ ὅλον τὸ σῶμα καὶ κτῆνος ὁμοίως· ἡ ἐσθίουσα τὴν ῥίζαν αὐτῆς ἔχει γάλα πολύ. ὠφελεῖ εἰς τὴν ὄφεως πλήγην. ὁ δαιμονιζόμενος καὶ φαγὼν αὐτὴν ἰᾶται. ὁπόταν γένηται ὁ ἄνθρωπος παράφρων, καὶ καπνίσας αὐτὴν ἰᾶται. ὁπόταν γεννηθῇ τὸ βρέφος, τρίψας τὴν ῥίζαν αὐτῆς καὶ μίξας μετὰ γάλακτος καὶ βυζάσι γίνεται εὐτυχής. ὁ βαστάζων [f. 164] τὴν ῥίζαν καὶ τὸ φύλλον καταρρίπτει τὰς μαγείας ἐπιγράφων ἐν αὐτῇ τὰ ἄρρητα τοῦ παντοκράτορος θεοῦ ταῦτα· [Signa magica, cf. tab. II, n° 3] τῷ Ἄλφα, Ἀδωναῖ, Ἐλωῖ, Σαβαώθ.

Ὁ καπνιζόμενος καὶ βαστάζων τὴν ῥίζαν, τὸ φύλλον καὶ τὸν σπόρον, οὐ μὴ δηχθῇ ὑπὸ ὄφεως καὶ εἰς πάσας τὰς βοτάνας προτιμητέα εἰς πᾶν ἔργον πονηρόν, ἐπιγράφων δὲ αὐτὰ ἐν ἡμέρᾳ καὶ ὥρᾳ Ἡλίου.

Κε<φάλαιον> β'. Περὶ συλλήψεως.

Λαβὼν ἐκ τοῦ μεμυκότος καρποῦ τῆς αὐτῆς βοτάνης καὶ περιειλήσας ἐν ῥάκει σηρικῷ ἀληθινῷ δὸς φορεῖν τῇ γυναικὶ περὶ τὸν ἦτρον.

1-2 δαιμονιζόμενος - δαίμονα] cf. Cyran. p. 13, 25 ἐπιθυμιωμένη δὲ ἡ ῥίζα ἢ ποτιζομένη δαίμονας ἀπελαύνει καὶ φαντάσματα πάντα φορουμένη; Pradel, p. 31, 3 : ὁ δαιμονιζόμενος φαγὼν καὶ καπνισθεὶς εἰς δύο φεγγάρια ἰᾶται. 2 τι ἢ] ται εἰ cod. 5 τεθεὶς cod. 7-8 ἐν - μαγεία] cf. Pradel, p. 30, 20: καὶ θυμιάζων τὴν ῥίζαν ... ἀνταμῶς εἰς τὸν οἶκον κακὸν οὐκ εἰσέρχεται ... ὁ ἔχων εἰς τὸν οἶκον του ἀπ' αὐτὴν ἀπὸ παντὸς πράγματος κακοῦ οὐκ εἰσέρχεται οὔς μαγία ὠφελεῖ 8 ὁ φαρμακωθεὶς - βλαβήσεται] cf. Pradel, p. 30, 26 : ὁ φαρμακωθεὶς καὶ πίνει ἐξ αὐτῆς οὐ φοβηθήσεται. 8-9 ὁ σπόρος - σῶμα] cf. Pradel, p. 30, 27 : σπόρος πινόμενος μετὰ μέλι καθαρὸν ὠφελεῖ ὅλον τὸ σῶμα. 8 πιών] ποιῶν cod. 10 ἡ ἐσθ. - πολύ] cf. Pradel, p. 31, 6 : εἰς γυναῖκαν ὅπου δὲν ἔχει γάλα, πότισον καὶ τάγισον κρυφῶς καὶ φέρει γάλα. 11 ὁ δαιμονιζόμενος - ἰᾶται] cf. Pradel, p. 31, 3 : ὁ δαιμονιζόμενος φαγὼν καὶ καπνισθεὶς εἰς δύο φεγγάρια ἰᾶται. 13 βυζάσι a βύζα; cf. Ducange, s. v. βύζα. 14-15 ὁ βαστάζων - μαγείας] cf. Pradel, p. 30, 16 s. : ὁ βαστάζων τὴν ῥίζαν μαῖα οὐ φοβήσεται. καταρίπτη cod. 15 ἄρητα cod. 22 μεμυκότος] μεμηνότος cod. 22-23Λαβὼν - ἦτρον] cf. Cyran., p. 13, 14-16 : ἐὰν οὖν γυναικὸς μὴ κατέχῃ μήτρα τὸ ἐσπαρμένον, θέλῃ δὲ συλλαβεῖν, <λαβὼν> θεῖον βλάστημα (cf. Carm. de vir. herb. v. 152 : ἀμβρόσιον βλάστημα), περιζωννύσθω καρπὸν μεμυκότα, δήσας αὐτὸν ἐν ῥάκει λινῷ βεβαμμένον ἑπτὰ χροιάς, περὶ τὸ ἦτρον δὲ ζωννύσθω. 14 ἦτρον] ἴστρον cod.

καὶ καθέξει τὸ σπέρμα. δέον δὲ ἐπιγράφειν ἐπάνω τὰς χαρακτήρας τὰς ἄνωθεν γεγραμμένας ἐν ὥρᾳ Ἡλίου.

Κε<φάλαιον> γ'. Περὶ φυλακτηρίου μεγίστου.

Λαβὼν παιωνίας ῥίζαν ἐν ἡμέρᾳ καὶ ὥρᾳ Ἡλίου ἐπίγραψον μετὰ μαχαιρίου γερμαῖ τὰς χαρακτήρας ταύτας καὶ κρέμασον ἐν τῷ ὑψηλοτέρῳ τῶν δένδρων. ἔστιν οὖν κάρπιμον ὥστε ἀπὸ μετεώρου περισκοπεῖν τὰς ἀμπέλους ἢ τὰ χωράφια ἢ τὰ κηπωρεῖα καὶ φυλάττειν αὐτὰ ἀπὸ παντὸς κακοῦ. ἃ δὲ μέλλεις γράψαι, εἰσὶ ταῦτα· [Signa magica, cf. tab. II, n° 4.]

5 γερμαῖ non intellego.

EXCERPTUM EX CODICE PARISINO GRAECO 2419

VII Planetarum imprecationes.

VII Planetarum invocationibus Salomonis Hygromantiae insertis, quae supra editae sunt, hic alteram eamque simillimam collectionem precum adicere non alienum putavimus. Quamquam tangenti harum collectionum duarum imprecationes longe diversissimae esse videantur, tamen altius quaerentem fugere non potest in utraque collectione ordinem argumenti singularum precum mire congruere atque etiam nonnumquam ipsa verba consentire; cf. quae in apparatu adnotavi. Accuratius de planetarum et cultu et imprecationibus me brevi alio loco posse commentari spero.

Nunc satis est admonere etiam preces Parisinas excerptas esse ex magico quodam libro Hygromantiae Salomonis non prorsus dissimili eodemque fere quo haec tempore conscriptas esse. Eaedem preces exstare videntur in duobus codicibus Graecis recentioribus, quos N. G. Polites Atheniensis possidet. Cf. supra, p. 140. De rationibus, quae inter Christianas et Graecas preces intercedunt, nuperrime bene egit Th. Schermann, *Griechische Zauberpapyri und das Gemeinde- und Dankgebet im I. Klemensbriefe*, Lipsiae, 1909. Cf. etiam, quae Skutsch, *Arch. f. Religionswissenschaft*, XIII, 1910, p. 290 ss. exposuit.

[F. 277.] Ὁποῖος βούλεται ποιῆσαι πρᾶξιν καὶ θέλει ἵνα ἐστὶν εὔστοχος καὶ δόκιμος, μέλλειν ἔχειν τὰς εὐχὰς τῶν ζ' πλανητῶν τοῦ οὐρανοῦ καθ' ὁποίαν πρᾶξιν.

Περὶ τοῦ Κρόνου.

Ὁ Κρόνος ἔχει ἄγγελον α' Κτητοήλ, δαίμοναν α' Βέλζεβού.

<Εὐχή>. Κύριε, ὁ θεὸς ἡμῶν, ὁ μέγας καὶ ὕψιστος, ὁ ποιήσας καὶ πλάσας τὸν ἄνθρωπον, ὃν ἡ ἄβυσσος εἶδε καὶ ἐτρόμαζεν καὶ οἱ ζῶντες ἀπενεκρώθησαν. ἐν τῷ ὀνόματι αὐτοῦ καὶ εἰς τὴν δύναμιν αὐτοῦ τὴν μεγάλην, ὁρκίζω σε, Κρόνε, εἰς τὸ ὕψος τοῦ οὐρανοῦ καὶ εἰς

6 εὐχή add. ὕψιστος] cf. Th. Schermann, *Griech. Zauberpap.*, Lipsiae 1909, p. 26 s. 7 πλάσας τὸν ἄνθρωπον] cf. 1 Cl. 38, 3. cf. Salomon, *Hygrom.*, supra, p. 155, 16 : ὃν οἱ ἄβυσσοι ἰδόντες ἔφριξαν καὶ οἱ ζῶντες ἀπενεκρώθησαν. 8 ἐν τῷ ὀνόματι] conf. A. Deissmann, *Bibelstudien*, p. 25 et 145, et Heitmüller, *Im Namen Iesu*.

τὸ βάθος τῆς θαλάσσης, ἵνα μηδέν με παρακούσῃς. ὁρκίζω σε, Κρόνε, εἰς τὴν ἀρχαιότητάν σου καὶ εἰς τὴν πρωτείαν σου. ὁρκίζω σε, Κρόνε, εἰς τὸ φρίγιόν σου, ὅπερ ἔχεις ἐξουσίαν εἰς πάσας βλάβας καὶ θησαυροὺς διδόναι, καὶ τὰ πάντα καλῶς ὑπόκλινον. πάλιν ὁρκίζω σε εἰς τὰ ὀνόματά σου ταῦτα· Ὀρφῶν, Ὀκπή, Τομῶν, Οὐλιόβ, Βερίμ, Οὐγράν, Σαρόμ, Ὀδήλ, Σιέτ, Σατάδ. διὰ τούτων τῶν ὀνομάτων, νά με ὑποκλίνῃς τὴν χάριν σου καὶ τὴν ἐνέργειάν σου, εἰς τὸ πρᾶγμαν, ὃ μέλλω πρᾶξαι τὴν ὥραν τούτην, νὰ εὑρεθῇ δόκιμον καὶ ἀληθινόν.

Περὶ τοῦ Διός.

Ὁ Ζεὺς ἔχει ἀγγέλους β' Σερπερεὴλ καὶ Ῥαφαήλ, δαίμονας τρεῖς Ποντήρ, Τολετὸρ καὶ Ὀρνιέλ.

Εὐχή. Ὁ θεὸς ὁ μέγας καὶ αἰνετὸς καὶ ἀνεξιχνίαστος, ὃς οὐκ ἔχει μέτρον τοῦ ὕψους τῆς θεότητος αὐτοῦ, δέομαι οὖν ὁ ἀνάξιος καὶ παρακαλῶ τὸ ὕψος τῆς εὐσπλαγχνίας σου, νά με ὑπακούσῃς καὶ εἰς αὐτὴν τὴν πρᾶξιν καὶ τὸ ἔργον, ἐν ᾧ ποιῶ, ἵνα ἐστὶν ὠφέλιμον εἰς ἄκρος· ὁρκίζω σε, Ζεῦ, ἀνδρειώτατε καὶ ὠφελιμώτατε, εἰς τὸν ἀμέτρητον ἀστράγαλον τοῦ θεοῦ, νὰ μηδέν με παρακούσῃς· ὁρκίζω σε, Ζεῦ, εἰς τὰς χάριτας τῶν βοτάνων πάντων, ἵνα με ὑπακούσῃς. ὁρκίζω σε, Ζεῦ, ἄνω εἰς τὰς στρατείας σου καὶ εἰς τὰς ἀνδρείας σου καὶ εἰς τὴν δύναμίν σου καὶ εἰς τὰς θαυμαστάς σου χάριτας καὶ εἰς τὰ ὀνόματά σου ταῦτα· Μισθάν, Μισαοῦ, Ἀλοῦ, Σιγνῶ, Πελχαούλ, Ἀαβῶν, Δεσουδέ, Ἀζαήρ, Μηρῶν. διὰ ταῦτά σου τὰ ὀνόματα τὰ μέγιστα καὶ ἀνδρειώμενα, νά με ὑποκλίνῃς τὴν χάριν σου καὶ τὴν ἐνέργειάν σου εἰς τὴν πρᾶξιν, ἣν μέλλω πρᾶξαι, νὰ εὑρεθῇ δόκιμον καὶ ἀληθινόν.

Περὶ τοῦ Ἄρεως.

Ὁ Ἄρης ἔχει ἄγγελον α' Μαγουήλ, δαίμονας β', Χαλὴβ καὶ Σιλουάμ.

Εὐχή. Κύριε ἰσχυρὲ καὶ δυνατέ, ὁ ὀργιζόμενος [καὶ] ξηραίνεται βυθὸς καὶ τὸ βλέμμα σου τὸ ἰσχυρὸν συντρίβει ὄρη, δι' οὗ ἐφοβήθησαν ὄρη καὶ συνετρόμασαν ἄβυσσοι καὶ προσεκύνησαν πάντες οἱ τῶν ἀγγέλων χωροί. εἰς τὸ ὄνομά σου, κύριέ μου, ὁρκίζω ἐγὼ ὁ δοῦλός σου καὶ εἰς

